librarius: παρ' ἐμοῦ τοῦτ' ἐπενοήθη καὶ ὠργανώθη τοῦτον τὸν τρόπον τὸ παρὸν σχῆμα τῶν τεσσάρων στοιχείων. Δημητρίου τοῦ Τρικλινίου; 311v περὶ σημείων τῆς κοινῆς συλλαβῆς τῶν ἐντὸς κειμένων τῆς βίβλου ἡμέτερον, Δημητρίου τοῦ Τρικλινίου; ibidem Hephaestionis excerptum his verbis desinens: ᾧ Ὅμηρός τε ἐχρήσατο, καὶ σὺν ἄλλοις ὁ ποιητὴς Ἄρατος.

Arati Triclinianae editionis reliquias aliquando fortasse accuratius examinabo; nunc ea tantum testimonia lectoribus praestare volui, quibus eam exstitisse quidem docerentur. Quod ad editionem nostram scholiorum adtinet, Triclinium bis tantum advocabimus, ad Vitam scilicet tertiam et ad opusculum περὶ τοῦ ζῳδιακοῦ κύκλου.

9. De scholiorum in Aratum editionibus

1) Primus scholia nostra cum ipso Arato typis imprimenda curavit Aldus Manutius Venetiis anno 1499 in Astronomis suis veteribus (foll. N1–S6) sub titulo Ἀράτου Σολέως Φαινόμενα μετὰ σχολίων Arati Solensis Phaenomena cum Commentariis; Aratum scholiis circumdatum antecedunt Λεοντίου Μηχανικοῦ περὶ κατασκευῆς Ἀρατείας σφαίρας; Vita quarta et prolegomena eodem ordine atque in Estensi codice disposita; sequuntur epistula ad Iulianum et haec subscriptio: Τέλος τῶν τοῦ Ἀράτου Φαινομένων καὶ Διοσημείων καὶ τῶν τοῦ Θέονος (sic) σχολίων; ultimus quaternio (T) Procli Sphaeram a Thoma Linacro versam continet, praefixa Aldi Manutii epistula ad Albertum Pium Carporum principem data; monendum est denique in anteriore ingentis operis parte (fol. G1 ante Germanicum Ciceronem Avienum Arati interpretes) Manutium Latinam Vitae Arati quartae versionem edidisse a se ipso confectam.

2) Arati Phaenomena Graece, cum Theonis Alexandrini

commentariis (in opere quod inscribitur *Sphaerae atque astrorum caelestium ratio*), Basileae 1536, apud I. Valderum.

3) 'Αράτου Σολέως Φαινόμενα καὶ Διοσημεῖα, Θέωνος σχόλια, Λεοντίου μηχανικοῦ περὶ 'Αρατείας σφαίρας: Parisiis, apud G. Morelium, 1559.

4) 'Αράτου Σολέως Φαινόμενα καὶ διοσημεῖα, Θέωνος σχόλια, 'Ερατοσθένους Καταστερισμοὶ etc. . . . curante Ioanne Fello (John Fell) Oxonii, e theatro Sheldoniano, 1672.

5) 'Αράτου Σολέως Φαινόμενα καὶ Διοσημεῖα. Arati Solensis Phaenomena et Diosemea Graece et Latine . . . accedunt Theonis scholia vulgata et emendatiora e cod. Mosquensi . . . curavit Ioannes Theophilus Buhle professor Gottingensis, Vol. I, Lipsiae, in officina Weidmannia MDCCXCIII.

6) 'Αράτου Σολέως Φαινόμενα, Θέωνος σχόλια, 'Ερατοσθένους Καταστερισμοί, Λεοντίου σφαῖρα et Germanici Caesaris Phaenomena. Les Phénomènes d'Aratus de Soles et de Germanicus César, avec les scholies de Théon, les Catastérismes d'Eratosthène et la Sphère de Léontius, traduits pour la première fois en français, par M. l'abbé Halma, Paris, Merlin, 1821.

Mentitur hic titulus, nam pauca tantum scholia (et ad vv. 733–1154 nulla) proponit editor, quo vix quemquam artis criticae magis expertem invenias; de Gallica versione humanius erit tacere.

7) Aratus cum scholiis, recognovit Immanuel Bekkerus, Berolini, typis et impensis Ge. Reimeri, 1828.

8) Commentariorum in Aratum Reliquiae, collegit recensuit prolegomenis indicibusque instruxit Ernestus Maass professor Marpurgensis. MDCCCXCVIII, Berolini apud Weidmannos (ed. altera lucis ope expressa MCMLVIII).

Ab Aldina pendent edd. 2, 3, 4; a Buhliana 6, 7.

Buhlius ipse editionem Morelianam se secutum esse fatetur, ita ut ab Aldina raro discrepet; sed post Arati carmen vulgatis scholiis instructum scholia Mosquensia (id est codicis nostri K) ab avunculo suo Ioanne Christiano Heym professore Mosquensi exscripta, typis exprimi iussit. In Arato ipso edendo tribus tantum codicibus Buhlius usus est, quorum unus, Mosquensis scilicet, scholiis non carebat.

Bekkerus vero sex nostrorum codices noverat, MDK VUA; quo magis eum talia scribere potuisse miramur: „scholia autem non ad codices contuli . . . sed collatis inter se, quae Buhlius duo una edidit, exemplis utcunque et correxi et supplevi".

Primus igitur post quattuor integra saecula Ernestus Maass scholiorum nostrorum veram editionem dedit. Duos fontes novos aperuit, M et A, sed eum Aldinae concessit honorem ut eam codicis loco habendam putaret; de qua re, cur cum eo dissentirem, iam dixi.

10. De huius editionis ratione

Mihi non accidit ut rem tam funditus renovare possem quam Maassius potuit cum Marcianum primus usurparet; meum erat ut communium scholiorum codices omnes examinarem, ut eos seligerem qui ad archetypum restituendum usui esse possent, ut paginas ineditas e Scorialensi ac Salmanticensi effoderem, ut Marciani lectiones accuratius enotarem (saepissime enim in his rebus Maassium errare moneo), ut antiquas mendas pro viribus corrigerem, ut historiam denique ac structuram Arateorum scholiorum minus obscuram facere conarer.

Apparatum qui dicitur positivum, ut magistri clarissimi Alphonsi Dain discipulus, non potui quin conscriberem. Sed auream illam regulam iudicio temperandam esse censui.

Si quas minores varietates unus vel duo gemini codices praebebant, eas eorum tantum siglis notavi.

Iota adscriptum in apparatu critico semper ibi posui aut omisi ubi id ponit aut omittit librarius eius codicis qui primus laudatur; velut si scribo τῶι Ἀράτω MKUA, unius codicis M orthographiam significari scito.

Elenchus codicum quibus unumquodque scholium vel scholii membrum servatur et in textus margine exstat et ad adnotationum criticarum caput quae eo pertinent.

Cum S multa inedita haberet et communium scholiorum ordinem nonnumquam turbaret, haud inutile mihi visum est semper in apparatu foliorum et linearum numeros notare, ut omnes in ipso codice quodvis scholium reperire possent. Quod in Q facere minus operae pretium esse credidi; is enim ultra sch. 155 non producitur, et a Marciano ordine minime discedit.

Fabulas Catasterismorum astronomicas, quas in scholiis immiscet saepe S, nonnumquam Q, eo tantum recipere decrevi, ut documento harum rerum studiosis esse possent; a scholiis enim alienae sunt. Conferant eas, si libet, viri docti cum ceteris testimoniis, atque in primis cum Vaticano gr. 1087 et Arato Latino; ego vero sine ulla emendatione eas nunc exscribo, dum mihi otium non est ut veram Catasterismorum recensionem edam.

Gratias debitas persolvo Johanni Mariae Jacques Pictavensi, qui meum in usum, qua erga me benevolentia est, Etymologicum Genuinum perscrutatus est; Johanni Renato Vieillefond Gratianopolitano, collegae humanissimo, qui me in plagulis corrigendis adiuvit et mendas non paucas detexit; Wiebke Schaub Teubnerianas editiones Graecas et Latinas procuranti quae diligentissime librum meum ad typothetarum laborem praeparavit; bibliothecarum denique Marcianae, Scorialensis, Salmanti-

censis praefectis, per quos mihi licuit imagines codicum MQS lucis ope confectas ad calcem huius editionis publici iuris facere.

Scribebam Gratianopoli a. MCMLXIX–MCMLXXII

JOHANNES MARTIN

CONSPECTUS SIGLORUM

M Marcianus 476 saec. X-XI

M^{ac} M ante correctionem

M^{pc} M post correctionem

M^{sl} M supra lineam

Q Salmanticensis 233 saec. XV

D Parisinus gr. 2841 saec. XIII

Δ Parisinus suppl. gr. 652 saec. XV

K Charecovensis Univ. 369 (olim Mosquensis) saec. XIV

V Vaticanus gr. 1910 saec. XIII-XIV

U Vaticanus gr. 1702 saec. XIII-XIV

A Parisinus gr. 2403 saec. XIII-XIV

S Scorialensis Σ III 3 saec. XV ex.

C Romanus Casanatensis 356 saec. XIII-XIV post v. 519 interdum allatus

Est Estensis α T 9 14 saec. XV

Ald. editio Aldina a. 1499

PRAEFATIONIS EXCERPTUM

ANONYMUS II 3

Laur. LXXXVI]10 et Aratus Latinus

τῶν Ἀράτου Φαινομένων τὰ μέν ἐστι περὶ τῶν κατ' οὐρανὸν ἄστρων καὶ ἰδίως Φαινόμενα λέγεται, τὰ δὲ περὶ τῶν ὑπὸ τὸν οὐρανὸν καὶ τῶν πάλαι λεγομένων μεταρσίων

† ἐστὶ φαινόμενα κατὰ τὸν ἀστρονομικὸν τέτακται τόπον†.

ὑπὲρ ὧν καὶ τὰ ἐξηγητικὰ πεπραγμάτευται:

ὅτι τῷ μαθηματικῷ εἰς δύο προσήκει τὸ τοῦ ποιητοῦ σύγγραμμα, τὸ μὲν εἰς τὰ φαινόμενα καὶ ἀστρολογικῶς ἐξενηνεγμένα, τὸ δὲ εἰς τὰ ἕτερα, πέμψαι

quibus Arati videntur quaedam sunt secundum caelum stellarum ecce sicut videntur dicta sunt, de sub caelo autem et quibus olim dicta sunt transgrediamur

item videntur secundum astronomicum poni locum

de quibus et recensere consideravi.

quum mathematicis constat in duobus conditoris conscriptio quaedam in quibus videntur et in stellarum ratione exposita, quaedam in alia,

---

De **Anonymo II, 3** (*Maass, Comm. Ar. Rell. pp. 140–144*) *vide praef. supra p. V; de codice Laurentiano LXXXVII 10 ibid. p. VI et J. Martin, Hist. Text. p. 52*

ad Graeca 9–10 ἐστὶ . . . τόπον *crucibus inclusi; an legendum* ἔτι φαίνονται κατὰ τὸν ἀστρονομικὸν τετάχθαι τόπον *? (cf. Lat.)* ἐστὶ *secl. Maass* **12** *dicolon habet cod.* **13** τῷ μαθηματικῷ *Maass*: τῶν . . . –κῶν *cod. ut vid.*

σοι προήχθην τὰ Φαινόμενα Ἀράτου διορθωθῆναι καὶ τὴν ἐμὴν γνώμην, οὐδέπω τῆς διορθώσεως ταύτης ἐκδεδομένης. ἴσθι δὲ χρώμενόν με σημείοις τέτταρσι, τῷ τε χ καὶ τῇ διπλῇ καὶ τῷ ἀμφὶ καὶ τῷ ἀστέρι ἐν τῷ ἐδάφει. γραφὲν δ' ἂν ἴδῃς στίχῳ παρακείμενον ἕν τι τῶν προειρημένων σημείων . . .

mittere tibi proveni haec quae videntur Arati derigere et meam conscientiam umquam de hac directione tradita. exemplum vero utens me signis quoque et indiciis de sexcentesimo et duplo et utrum et stellantium pavimento. scriptum autem si videris versum minus positum aliquid de quibus praedictum est signorum et sub paginem hoc in fronte scire oportet quia secundum signum scriptae scripturae ad alias quasque creditas. horum autem expositio in memoriam venit et tamquam non in peccato. in quo autem est secundum pavimento intuenda atque narranda hiemalium quae quidem melius secus pavimento feruntur. hoc adducitur in praefatione illius ipso incoante ad Anclidem unum de sociis qui verbum fecerat. quidam autem putaverunt sic. quidam vero non aestimant hoc Arati esse proverbium quod principium „a Iove incoamus", sed haec auferentes proverbia alia praecipiunt. ista sunt autem „Anclidis ostensio sacrum

---

2–3 διορθωθῆναι καὶ *cod.* (*sic Lat.*): διωρθωθέντα κατὰ *olim coniec. Maass* (*Hermes 19, 1884, p. 108, Aratea p. 380*) **9–10** γραφὲν *scripsi* (scriptum *Lat.*): γραφὴν *cod.* | ἴδῃς *scripsi*: ἴδοις *cod.* | *ultimam sententiam interruptam esse censeo.*

ad Latina 14 et sub paginem (*sic*) *om. Maass ut verba ad exemplar Graecum spectantia; servavi atque sententiam uno tenore scripsi. apud Maassium a verbis* hoc in fronte *incipit caput secundum* | in fronte = ἐν τῷ μετώπῳ, *id est in margine, nam de signis diacriticis agitur* **27** hiemalium = κειμένων (κείμενον = textus) **22–3, 1** *cf.* περὶ ἐξηγήσεως *infra p. 33, ll. 13 sqq. et sch. 733.*

praepositum itaque caelestem vitam peragens“ et cetera. quidam tamen sic et alii aliter profanant. hi quidem ut Aratus faciunt per totam creaturam ad quemdam locum depinxerunt hos versiculos ut cognoscatur ad quem est eorum suggestio. hoc quidem est bene compositum. facturae consuetudo etenim est, Homerus ubi dicit nuncupare hos apices hoc est vocare et in aliis in quibus non est manifestum scire prout scias quisnam. quantum enim potest nunc hoc scire quisnam et rursus nuncupare et Zacynthum extentum decorum esse prout nuncupatur quisnam absque nisi et Homerum nuncupare quidem clamare aliquem quia et enuntiatio praefationis quid faciat adloquitur ante septuaginta annos dicit adnuntiatum quasi nihil dicat. quom ergo recalumniantes inquid et apud nos praefationem habens quaedam litigiosa quid faciant.

πῶς γὰρ οὐκ αἰσχρόν, εἰ πεπιστεύκαμεν πάντα μὲν τὰ ἄστρα τὸν θεὸν διατάξαι εἰς σημεῖα καὶ εἰς καιρούς, τὴν δὲ Δίκην φεύγουσαν τὴν περιττὴν τῶν ἀνθρώπων κακίαν ἐλθεῖν εἰς τὸν οὐρανὸν καὶ γενέσθαι ἄστρον; ὥστε κατ' αὐτοὺς οὐκέτι ὁ θεὸς τὰ ἄστρα εἰς σημεῖα τοῖς ἀνθρώποις διέταξεν. ἀλλὰ ληρώδεις οὗτοι οἱ λόγοι. τὰ γὰρ ἄστρα καὶ διέταξε καὶ

dicit enim in ipsa praefatione quia Iuppiter stellas hominibus signa constituit. sic quoque et facturam iudicio fugiens hominis malitiam veniens in caelum stella fieri, unde iam non Iuppiter omnes stellas constituit. sunt quidem bene composita eorum verba. stellas enim constituit et fundavit deus, nomina vero et signa postea et astro- Q et Ar. Lat.

---

6 *post* bene compositum (= εὐηθές, *cf. infra l. 27*) *distinxi* **6–7** etenim est *scripsi cum codd.* GK; *cf. sch. 733* ἀλλ' ἠγνόησαν ὅτι ποιητικόν ἐστιν ἔθος: est *om. ceteri codd.* **7** Homerus: Homeri *codd.* GK *fortasse recte* **14** septuaginta annos *cf.* περὶ ἐξηγήσεως *loc. laud.* **18sqq.** *vide infra p. 124, ll. 8 sqq.*

ἵδρυσε, τὰ δ' ὀνόματα καὶ τὰς σημειώσεις ὕστερον οἱ ἀστρολόγοι ὡς ἔμπειροι προσέθεσαν, οἳ αὐτοὶ καὶ μύθους οἰκείους προσέπλασαν. οὐδὲν οὖν κωλύει δημιουργὸν λέγειν τὸν θεόν, Δίκην δέ τινα ὑπὸ τῶν ἀστρολογησάντων κεκλῆσθαι. τοῦτο γὰρ ὁ Ἄρατός φησιν (100)· «λόγος γε μὲν ἐντρέχει ἄλλος ⟨ἀνθρώποις⟩».

logiam peritissimi addiderunt eis et fabulas condiderunt proprias. nihil tamen prohibet conditorem et factorem dicere deum, Dicionem autem quandam ab ipsis nuncupari quibus stellarum rationem dixerunt, quia sicut fabulas hoc dicit Aratus ,,verbum quidem currit sed humanus".

simili modo et de corona Ariadnes. hanc enim per Dionysum quasi exornatam in carmine suo et ille coronam manifeste quod fabulationem primus reddidit. de tali constitutione stellarum homines committunt non qualem Iuppiter praecipit. istas enim appellationes et significationes stellarum postea aliquando Berossus ait in Procreatione ita significans exposuit nihil ad constitutionem mundi ab eo factam. talia quippe aliqua Eudorus dicit.

amplius quidem nos artificiose exposuimus anni creationem. dicitur autem simili modo quod quasi praefatus Antigonus hanc expositionem Arati traditam nondum esset et astrologus refert dare Eudoxi rescriptum et iubet hoc per carmine adnuntiare quasi

---

14 sqq. *cf.* Q *infra p. 108, l. 23–p. 109, l. 4* | exornatam: *in Anon. II, 1 (Maass p. 110) verbo* exornatio *vertitur* καταστερισμός **20** Procreatione = περὶ κοσμογονίας (*Maass, Aratea p. 226*) **21–22** talia . . . dicit = τοιαῦτα μέν τινα Εὔδωρός φησιν; *ad Eudorum igitur (de quo vide J. Martin, Hist. Text. p. 31; Maass, Comm. Ar. Rell. pp. 30sqq.) ea referri videntur, quae antecedunt* **23–p. 5, 10** *cf. infra Vit. III, p. 16, ll. 24sqq.* **26** Eudoxi rescriptum *correxi* : Eudoxii rescriptu *codd.*

factorem manentem, inperitum autem astrologiae. hanc excepit gloriam Ipparchus quoque Bithyneus apud Aratum et Eudoxum, et Dionysius manifeste potius Thrax et Posidonius in Praedicatione Homeri et Arati de mathematicis. sunt quidem omnes benivoli. efficeret enim Aratum demonstrare perfectum astrologum etsi nihil differre dixisset de Eudoxum, qui ea ipsa communicanti per commentum dianae nihil aratione excessisse. impossibile enim quendam hoc facere non praeceptorem esse.

tanta quidem apud eos qui sine praefatione conantur facturam declarare. quidam autem aiunt et hoc postea repositum ab eodem praenominato Antigono imperatori priori amico Arati. de praefatione autem quod esset Arati et quoniam in Macedoniam est inventum in Antigoni bibliothecam quidam in membranis, quidam in tabulas, alii vero in samo de carmine hoc inventum esse ubi et illud aliud quia simili modo in ipsum suggerunt.

---

1 *cf.* Q *infra p. 124, ll. 1–3* factorem manentem = ποιητὴν μὲν ὄντα **3** Dionysius *correxi*: Dionysium *codd.*

VITA I

Γένος Ἀράτου καὶ βίος

Vat. 191 Ἄρατος ὁ ποιητὴς πατρὸς μὲν ἦν Ἀθηνοδώρου, μητρὸς δὲ Λητοφίλας. ἀδελφοὺς δὲ ἔσχε τρεῖς, Μύριν καὶ Καλιόνδαν καὶ Ἀθηνόδωρον ὁμώνυμον τῷ πατρί. μέμνηται δὲ αὐτοῦ τῶν ἀδελφῶν ἐν ταῖς εἰς αὐτὸν ἀναφερομέναις ἐπιστολαῖς. Ἀσκληπιάδης δὲ ὁ Μυρλεανὸς ἐν τῷ ἑνδεκάτῳ περὶ γραμματικῶν Ταρσέα φησὶν αὐτὸν γεγονέναι, ἀλλ' οὐ Σολέα, Καλλιμάχου πολυΐστορος ἀνδρὸς καὶ ἀξιοπίστου Σολέα λέγοντος αὐτὸν γεγονέναι διὰ τούτων (Epigr. 27)·

ἀλλ' ὀκνέω μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο,

καὶ τῶν ἄλλων σχεδὸν πάντων.

οἱ δὲ Σόλοι πόλις ἐπιφανεστάτη τῆς Κιλικίας, ἀφ' ἧς πολλοὶ κἀγαθοὶ γεγόνασιν ἄνδρες· καλεῖται δὲ νῦν Πομπηϊούπολις. εἰσὶ δὲ καὶ ἕτεροι Σόλοι τῆς Κύπρου· ἀλλ' οἱ μὲν Κύπριοι Σόλιοι καλοῦνται, οἱ δὲ Κιλίκιοι Σολεῖς, ὡς καὶ διὰ τοῦ προκειμένου Καλλιμαχείου παραδείγματος δῆλον. οὐδὲν δὲ θαυμαστὸν εἰ ἀπὸ τοῦ

Vaticanus gr. 191 (*203^{v} inf. – 204^{r}, 41*) *vide supra praef. p.* XXV *titulum praebet* Vat **4** Καλιόνδαν *sic* Vat **5** αὐτοῦ *edd.* αὐτοῦ Vat **6** μυρλεανὸς Vat : –λεια– Vat^{sl} **11** μελιχρότατον *infra p. 9, l. 14 et Anth. Pal. 9,507* : μὲν κράτος Vat

αὐτοῦ ὀνόματος διάφορα τῶν πολιτῶν τὰ ὀνόματα. καὶ γὰρ Σάις πόλις ἐστὶν ἐν Θρᾴκῃ καὶ ἑτέρα ταύτῃ ὁμώνυμος ἐν Αἰγύπτῳ· ἀλλ' ἀπὸ μὲν τῆς ἐν Αἰγύπτῳ οἱ πολῖται Σαῖται καλοῦνται, οἱ δὲ τῆς Θρᾴκης Σάιοι, ὡς καὶ Ἀρχίλοχός φησιν (fr. 13 Lasserre)·

ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων.

καὶ πάλιν Ἀθῆναι μέν εἰσι τῆς Ἀττικῆς, εἰσὶ δὲ καὶ τῆς Εὐβοίας Ἀθῆναι αἱ Διάδες, ὧν μέμνηται ἐν Γλαύκῳ Ποντίῳ Αἰσχύλος (fr. 61 Mette)· „κἄπειτ' Ἀθήνας Διάδας παρεκπερῶν". ἀλλ' ἀπὸ τῶν ἐν τῇ Ἀττικῇ οἱ πολῖται Ἀθηναῖοι, ἀπὸ δὲ τῶν ἐν Εὐβοίᾳ Ἀθηνῆται λέγονται, ὥσπερ Ἐρατοσθένης φησὶν ἐν τῷ πρώτῳ Γεωγραφουμένων (p. 352 Berger). οὕτως οὖν καὶ ἀπὸ τῶν ἐν Κιλικίᾳ Σόλων οἱ πολῖται Σολεῖς, ἀπὸ δὲ τῶν ἐν Κύπρῳ Σόλιοι. μέμνηται δὲ τούτων Σόλων ἐν ταῖς ἐλεγείαις ταῖς πρὸς Κυπράνορα τὸν βασιλέα, ὃν συμβουλευθεὶς ὑπὸ Σόλωνος κτίσαι τὴν πόλιν χάρις τοῦ ἀνδρὸς Σόλους ὠνόμασεν ἀμοιβὴν ταύτην νέμων τῆς συμβουλῆς αὐτῷ. λέγει δὲ ὁ Σόλων οὕτως (fr. 7 Diehl)·

νῦν δὲ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον·
αὐτὰρ ἐμὲ ξὺν νηὶ θοῇ κλεινῆς ἀπὸ νήσου
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος.

γέγονε δὲ ὁ Ἄρατος κατὰ Ἀντίγονον τὸν τῆς Μακεδονίας βασιλέα, ὃς ἐπεκαλεῖτο Γονατᾶς. ἦν δὲ υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ καὶ γυναῖκα εἶχε Φίλαν τὴν Σελεύκου καὶ Στρατονίκης θυγατέρα. ἦν δὲ φιλόλο-

---

6 ἣν Vat : τὴν *Strabo 10, p. 457* **7** ἔντος *edd.* : ἐντὸς Vat **9** Ἀθῆναι αἱ Διάδες ὧν *Petau* : Ἀθηναίων δαΐδαις Vat **11** Διάδας *Valckenaer* (*Diatribe p. 149*) : δαΐδας Vat | παρεκπερῶν *Scaliger* : παρ' ἐκ περσῶν Vat παρεκπεσὼν *Valckenaer* **20** Σόλων *cf. Plut. Sol. 26* **21** Σολίοισι *Plut.* : σολΐησι Vat **22** ναίοις *Plut.* : δύοις Vat **28** ἦν Vat : πάνυ *Maass fortasse recte*

γος γενόμενος, καὶ περὶ ποιητικὴν ἐσπουδακὼς περὶ πολλοῦ ἐποιήσατο πολλοὺς μὲν καὶ ἄλλους τῶν πεπαιδευμένων ἔχειν παρ' αὑτῷ καὶ δὴ καὶ τὸν Ἄρατον. ὃς παρὰ τῷ βασιλεῖ γενόμενος καὶ εὐδοκιμήσας ἔν τε τῇ ἄλλῃ πολυμαθείᾳ καὶ ⟨τῇ⟩ ποιητικῇ προετράπη ὑπ' αὐτοῦ τὰ Φαινόμενα γράψαι, τοῦ βασιλέως Εὐδόξου ἐπιγραφόμενον βιβλίον Κάτοπτρον δόντος αὐτῷ καὶ ἀξιώσαντος τὰ ἐν αὐτῷ καταλογάδην λεχθέντα περὶ τῶν φαινομένων μέτρῳ ἐντεῖναι καὶ ἅμα εἰπόντος ὡς „εὐδοξότερον ποιεῖς τὸν Εὔδοξον ἐντείνας τὰ παρ' αὐτῷ κείμενα μέτρῳ."

γέγονε δὲ Ἀντίγονος κατὰ τὴν ρκε' Ὀλυμπιάδα, καθ' ὃν χρόνον ἤκμασεν ὁ Ἄρατος καὶ Ἀλέξανδρος ὁ Αἰτωλός. μέμνηται δὲ τοῦ Κατόπτρου Εὐδόξου καὶ Ἀντιγόνου ⟨καὶ⟩ Ἀλεξάνδρου τοῦ Αἰτωλοῦ καὶ ὡς ἠξιώθη ὑπὸ τοῦ βασιλέως γράψαι ἐν ταῖς ἰδίαις ἐπιστολαῖς Ἄρατος.

λέγεται δὲ ἐσχολακέναι Διονυσίῳ τῷ Ἡρακλειώτῃ. καὶ τὴν Ὀδύσσειαν δὲ διώρθωσε, καὶ καλεῖταί τις διόρθωσις οὕτως Ἀράτειος ὡς Ἀριστάρχειος καὶ Ἀριστοφάνειος. τινὲς δὲ αὐτὸν εἰς Συρίαν ἐληλυθέναι φασὶ καὶ γεγονέναι παρ' Ἀντιόχῳ καὶ ἠξιῶσθαι ὑπ' αὐτοῦ ὥστε τὴν Ἰλιάδα διορθώσασθαι, διὰ τὸ ὑπὸ πολλῶν λελυμάνθαι.

οἱ δὲ λέγοντες Νίκανδρον τὸν Κολοφώνιον μετὰ Ἀράτου Ἀντιγόνῳ συγκεχρονικέναι, καὶ Ἄρατον μὴ εἶναι ἐπιστήμονα τῶν οὐρανίων μήτε Νίκανδρον τῶν ἰατρικῶν (λέγουσι γὰρ ὡς ἄρα ὁ Ἀντίγονος Ἀράτῳ μὲν ὄντι ἰατρῷ ἐπέταξε τὰ Φαινόμενα γράψαι, Νικάνδρῳ δὲ ἀστρολόγῳ ὑπάρχοντι τὰ Θηριακὰ καὶ τὰ Ἀλεξιφάρμακα, ὅθεν καὶ ἑκάτερον αὐτῶν ἐσφάλθαι κατολισθαί-

---

3 αὑτῷ *edd.* : αὐτῶ Vat **5** τῇ *add. Maass* **7** Κάτοπτρον *Scaliger* : –τρου Vat **9** ἐντεῖναι *Westermann* : εἶναι Vat ἐκθεῖναι *Scaliger* **10** ἐντείνας *Westermann* : ἐκτείνας Vat **15** καὶ *add. Scaliger Petau* **25** Ἀράτου *Petau* : Ἄρατον Vat

νοντα ἐπὶ τὰ ἴδια τῆς τέχνης) ψεύδονται. ἀγνοοῦσι γὰρ ὡς οὐ συνήκμασε τῷ Ἀράτῳ Νίκανδρος, ἀλλ' ἔστιν αὐτοῦ πολὺ νεώτερος. Ἀντίγονος γάρ, ᾧ συνεγένετο Ἄρατος, κατὰ τὸν πρῶτον καὶ δεύτερον γέγονε Πτολεμαῖον, Νίκανδρος δὲ κατὰ τὸν πέμπτον. μέμνηται γοῦν αὐτοῦ καὶ Καλλίμαχος ὡς πρεσβυτέρου οὐ μόνον ἐν τοῖς ἐπιγράμμασιν, ἀλλὰ καὶ ἐν τοῖς πρὸς Πραξιφάνην (fr. 460 Pf.), πάνυ ἐπαινῶν αὐτὸν ὡς πολυμαθῆ καὶ ἄριστον ποιητήν.

γέγονε δὲ ὁ Ἄρατος ζηλωτὴς Ἡσιόδου, ὡς καὶ Καλλίμαχος παρεσημήνατο τοῦτο διὰ τοῦ εἰς αὐτὸν ἐπιγράμματος οὕτως (Epigr. 27)·

Ἡσιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδὸν
ἔσχατον, ἀλλ' ὀκνέω μὴ τὸ μελιχρότατον
τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
ῥήσιες Ἀρήτου †σύγγονος† ἀγρυπνίης.

ἔγραψε δὲ καὶ ἄλλα [ποιήματα] περί τε Ὁμήρου καὶ Ἰλιάδος, [οὐ μόνον τὰ Φαινόμενα,] καὶ Ὀστολογίαν καὶ Ἰατρικὰς δυνάμεις καὶ εἰς Πᾶνα ὕμνον καὶ εἰς Μύριν τὸν ἀδελφὸν ἐπικήδειον καὶ Διοσημείας καὶ Σκυθικὸν καὶ κατὰ λεπτὸν ἄλλα, ἐπιτετευγμένως δὲ αὐτῷ ἐγράφη τὰ Φαινόμενα, ὡς παρευδοκιμηθῆναι πάντας ὑπ' Ἀράτου. καὶ γὰρ Εὔδοξος ὁ Κνίδιος ἔγραψε Φαινόμενα καὶ Λᾶσος ὁ Μάγνης, οὐχὶ ὁ Ἑρμιονεὺς ἀλλ' ὁμώνυμος ἄλλος [Λάσῳ τῷ Ἑρμιονεῖ], καὶ Ἕρμιππος καὶ Ἡγη-

---

14 ὀκνέω μὴ τὸ *supra p. 6, l. 11 et Anth. Pal.* : ὀκαισώμητο Vat (*ex unciali scriptura perperam lecta*) **16** ῥήσιες *Anth. Pal.* : δήσεις Vat | σύγγονος Vat (*sic etiam infra, Vita III, p. 18, l. 1*) : σύντονος *Anth. Pal.* σύγγονοι *Scaliger fortasse recte* | ἀγρυπνίης Vat (*et infra Vita III*) : –πνίη *Anth. Pal.* **17–18** ποιήματα *et* οὐ μόνον τὰ Φ– *secl. Maass* : περὶ ... Ἰλιάδος *secl. Westermann* **20** σκυθικὸν Vat : θυτικὸν *Bernhardy* ἐπιθυτικὸν *Hemsterhuys*, *cf. infra Sud. et J. Martin, Hist. Text. p. 178* **24** Λᾶσος *edd.* : Λάσος Vat. **25** Λάσῳ τῷ Ἑρμ. *seclusi*

σιάναξ καὶ Ἀριστοφάνης ὁ Βυζάντιος καὶ ἄλλοι πολλοί, ὧν καὶ Πτολεμαῖος μέμνηται ὁ βασιλεὺς Ἰδιοφυέσιν οὕτως·

πάνθ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος ⟨τὰ⟩ κατ' αἴθρην
τείρεα καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα
βίβλοις ἐγκατέθεντο †ἀπὸ σκοποῦ δ' ἀφάμαρτον†·
ἀλλ' ὅ γε λεπτολόγος σκῆπτρον Ἄρατος ἔχει.

καὶ ἄλλοι δὲ πολλοὶ γεγόνασιν Ἄρατοι ἄνδες ἐλλόγιμοι, ἱστοριογράφοι, ὥσπερ ὁ Κνίδιος, οὗ φέρονται Αἰγυπτιακὰ ἱστορικὰ συγγράμματα, καὶ τρίτος ἐπισημότατος Σικυώνιος, οὗ ἐστιν ἡ Πολύβιβλος ἱστορία ὑπὲρ τὰ λ' βιβλία ἔχουσα.

τὰς δὲ Ἀράτου ἐπιστολάς, ὧν ἀνωτέρω ἐμνήσθημεν, πάντων σχεδὸν συμφωνούντων τὰς εἰς αὐτὸν ἀναφερομένας αὐτοῦ εἶναι καὶ ὁμολογούντων γνησίας αὐτάς, μόνος Ἀπολλωνίδης ὁ Κηφεὺς ἐν τῷ ὀγδόῳ περί κατεψευσμένης ἱστορίας οὐκ εἶναι αὐτὰς Ἀράτου φησίν, ἀλλὰ Σαβιρίου Πόλλωνος· τοῦ δὲ αὐτοῦ τούτου φησὶν εἶναι ⟨τὰς⟩ ἐπιγεγραμμένας Εὐριπίδου ἐπιστολάς.

---

2 ὧν Vat : ὡς *Maass* | *epigramma non Ptolemaei, sed Archelai fuisse, textum autem nostrum corruptum esse censet Maass; laudantur enim Archelai* Ἰδιοφυῆ *in Catasterismis* (*vide Cat. 41*) *ed. Olivieri et Maass, Comm. Ar. Rell. p. 580* (καὶ Ἀρχέλαος δέ φησιν ὁμοίως ἐν τοῖς Ἰδιοφυέσιν) **4** τὰ *add. Scaliger Petau* **6** ἀπὸ σκοποῦ δ'ἀφάμαρτον Vat : ἀποσκόπιοι δ'ἀφ– *Scaliger* ἐπίσκοποι οὐδ'ἀφ– *Kaibel apud Maassium* **7** ἀλλ'ὅ γε *Maass* : ἀλλὰ τότε Vat | λεπτολόγος *Ursinus* : λεπτολόγου Vat | σκῆπτρον *Scaliger* : σκήπτου Vat **16** Κηφεὺς Vat : Νικαεὺς *Bentley, Phalaridea p. 374* **18** Σαβιρίου Vat : Σαβιδίου *Bentley* Ἀσινίου *Bergk* | Πόλλωνος Vat : Πολλίωνος *Scaliger Bentley* **19** τὰς *hic inserui : post* ἐπιγεγραμμένας *Maass*

VITA II

Γένος Ἀράτου τοῦ ποιητοῦ

Ἄρατος ὁ ποιητὴς γένει μὲν ἦν ἀπὸ Σόλων τῆς Κιλικίας, πατρὸς δὲ Ἀθηνοδώρου, μητρὸς δὲ Λητοφίλας. γένους δὲ ἐγένετο πατρὸς ἐπιφανοῦς καὶ ἐν πολλοῖς εὐδοκίμου καὶ ἐν πολέμῳ ἀριστεύσαντος· ἠλευθέρωσε γοῦν τὴν πατρίδα πολλάκις. [ἐν] τοῖς χρόνοις δὲ ἐγένετο κατὰ Φιλάδελφον τὸν βασιλέα, συνήκμαζε δὲ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ καὶ Φιλητᾷ καὶ Διονυσίῳ τῷ φιλοσόφῳ ⟨τῷ⟩ εἰς ἡδονὰς μεταθεμένῳ, οὗ καθηγήσατο τὰ μαθηματικὰ ὁ Ἄρατος. καὶ ἔστιν αὐτοῦ ἕτερα συντάγματα κατὰ λεπτόν, ἄξια δὲ μνήμης τέσσαρα, ἓν μὲν Ἰατρικῶν δυνάμεων, δεύτερον Κανόνος κατατομή, τρίτον τὰ Φαινόμενα, τέταρτον Περὶ ἀνατολῆς, ὅ φασί τινες μὴ εἶναι Ἀράτου, ἀλλὰ Ἡγησιάνακτος.

Δ Matr. 4691
Matr. 4629

ἐνίοις δὲ ἀρέσκει Ἄρατον γεγονέναι ἰατρὸν τῇ ἐπιστή-

Δ Matritenses 4691 (Ma) *et* **4629 (Ma^2)** *vide praef. p.* X *titulus* Ma Ma^2: σχόλια ἤτοι μερικαί τινες ἐξηγήσεις καὶ διασάφησις εἰς τὰ Φαινόμενα Ἀράτου τοῦ ποιητοῦ, ἐν οἷς ἀναγκαίως προτέτακται τὸ γένος αὐτοῦ Δ **2** Λητοφίλας Ma Ma^2: –λης Δ | *post* ἐγένετο *dist.* Δ **3** πατρὸς Δ Ma Ma^2: *secl. Maass* πατρόθεν *malit Westermann* **4** εὐδοκίμου Ma Ma^2: δοκίμου Δ **5** ἐν Δ Ma Ma^2: *secl. Westermann* **7** Διονυσίῳ Ma Ma^2: –σω Δ **8** τῷ *Maass* | ἡδονὰς *Westermann* (*cf. Diog. Laert. 7,167*): ἀθήνας Δ ἀθήνας δὲ Ma Ma^2 | μεταθεμένῳ Ma Ma^2: μεταθέμενος Δ **10** κατὰ λεπτὸν Δ: *om.* Ma Ma^2 **9** δεύτερον Δ: δεύτ– δὲ Ma Ma^2 **11** τρίτον Δ Ma: τὸ τρίτον Ma^2 **12** | τέταρτον Δ Ma : τὸ τέταρτον Ma^2 | περὶ Δ Ma^2 : τὸ περὶ Ma **14** γεγονέναι ἰατρὸν Δ Ma^2: ἰατρ– γεγ– Ma

μῃ, φίλον δὲ γνήσιον γεγονότα Νικάνδρου τοῦ μαθηματικοῦ γράψαι τε τὰ Θηριακὰ καὶ δοῦναι Νικάνδρῳ καὶ λαβεῖν παρ' αὐτοῦ τὰ Φαινόμενα καὶ ἴδια ὑπογράψαι.

ἔστι δὲ τριχῶς ἡ τῶν Φαινομένων αὐτοῦ πραγματεία, καταστέρωσις καὶ περὶ συνανατελλόντων καὶ συνδυνόντων καὶ προγνώσεις διὰ σημείων.

ζηλωτὴς δὲ ἐγένετο τοῦ ὁμηρικοῦ χαρακτῆρος κατὰ τὴν τῶν ἐπῶν σύνθεσιν. ἔνιοι δὲ αὐτὸν λέγουσιν Ἡσιόδου μᾶλλον ζηλωτὴν γεγονέναι. καθάπερ γὰρ ὁ Ἡσίοδος τῶν Ἔργων καὶ Ἡμερῶν ἀπαρχόμενος τῶν ὕμνων ἀπὸ Διὸς ἤρξατο λέγων „Μοῦσαι Πιερίηθεν ἀοιδῆσι κλείουσαι, / δεῦτε Δί' ἐννέπετε", οὕτω καὶ ὁ Ἄρατος τῆς ποιήσεως ἀρχόμενος ἔφη „ἐκ Διὸς ἀρχώμεσθα"· τά τε περὶ τοῦ χρυσοῦ γένους ὁμοίως τῷ Ἡσιόδῳ, ⟨καὶ⟩ κατὰ πολλοὺς ἄλλους μύθους. Βοηθὸς δὲ ὁ Σιδώνιος ἐν τῷ πρώτῳ περὶ αὐτοῦ φησιν οὐχ Ἡσιόδου αὐτὸν ζηλωτήν, ἀλλ' Ὁμήρου γεγονέναι· τὸ γὰρ πλάσμα τῆς ποιήσεως μεῖζον ἢ κατὰ Ἡσίοδον. πολλοὶ μὲν γὰρ καὶ ἄλλοι Φαινόμενα ἔγραψαν, καὶ Κλεόπατρος καὶ Σμίνθης καὶ Ἀλέ-

---

1 φίλον *Schneider ad Nicandri Ther. p. 6* : ὅλον Δ MaMa² | δὲ Δ : τε MaMa² | γνήσιον γεγονότα Δ: γεγ– γν– MaMa² **1–2** Νικάνδρου τοῦ μαθηματικοῦ Δ : Νικάνδρῳ τῷ μαθηματικῷ MaMa² **2** τε Δ: *om.* MaMa² **3** καὶ λαβεῖν Δ : λαβεῖν τε MaMa² | ὑπογράψαι Δ : γράψαι MaMa² **5** περὶ Δ Ma²: *om.* Ma **9** μᾶλλον Δ: *om.* MaMa² | ζηλωτὴν Δ: μιμητὴν MaMa² **10** τῶν Δ: *om.* MaMa² | ἀπαρχόμενος Δ: ἀρχόμενος Ma | *post* ἀπαρχ– *dist.* Δ | τῶν ὕμνων ΔMaMa²: ὑμνῶν *Maass, fortasse delendum* **11** ἀοιδῆσι κλείουσαι ΔMa: *om.* Ma² **12** δεῦτε Δί' ἐνέπετε (*sic*) Δ: *om.* MaMa² **13** ἀρχώμεσθα Δ: ἀρχόμεσθα MaMa² **14** καὶ *addidi* | κατὰ ... μύθους Δ: *om.* MaMa² **15** Σιδώνιος ΔMa: Σιδόνιος Ma² **16–17** οὐχ Ἡσ– αὐτὸν ζηλ– ἀλλ' Ὁμήρου γεγονέναι (*om.* Ma²) ΔMa²: οὐχ Ἡσ– ἀλλ' Ὁμ– ζηλ– γεγ– Ma (αὐτὸν *om.*) **18** μὲν Δ: *om.* MaMa² **19** Κλεόπατρος Δ (*sic etiam Meineke in Anal. Alex. p. 241*): κλεοπάτρης MaMa² Κλεόστρατος *Bergk* (*Diar. stud. ant. 1843 p. 926*) *Meineke* (*Exerc. in Athen. p. 23*)

ξανδρος ὁ Αἰτωλὸς καὶ Ἀλέξανδρος ὁ Ἐφέσιος καὶ Ἀλέξανδρος ὁ Λυκαΐτης καὶ Ἀνακρέων καὶ Ἀρτεμίδωρος καὶ Ἵππαρχος καὶ ἄλλοι πολλοί, ἀλλ᾽ ὅμως λαμπροτέρα γέγονε πάντων ἡ Ἀράτου δύναμις ἐπισκοτήσασα τοῖς ἄλλοις. ἐχρήσατο γὰρ τῇ τῶν φυσικῶν φιλοσόφων δυνάμει. εἶναι γάρ φησι τὸ διοικοῦν τὸν κόσμον ἀκριβῶς περί τε τοὺς ἐνιαυτοὺς καὶ μῆνας καὶ ἡμέρας καὶ ὥρας καὶ ἀνατολάς τε καὶ δύσεις ἡλίου καὶ σελήνης καὶ τῶν πέντε ἀστέρων. λέγει δὲ καὶ τὴν γῆν σφαιροειδοῦς σημείου τάξιν ἐπέχειν πρὸς τὸν ὅλον κόσμον, ἀκινητόν τε ὑπάρχειν, οὖσαν σταδίων μυριάδων εἴκοσι πέντε καὶ δισχιλίων.

λέγουσι δέ τινες καὶ περὶ τοῦ προιμίου ὅτι τοῦτο τὸ Δ
νῦν ὂν οὐκ ἔστιν αὐτοῦ, ἀλλ᾽ ἐπιγεννητόν, τὸ δὲ ἀληθινὸν αὐτοῦ φασιν εἶναι τοῦτο· „Ἀγκλείδη, ξείνων ἱερὸν θάλος".

καὶ περὶ μὲν τοῦ βίου καὶ τοῦ γένους καὶ τῆς παιδείας καὶ τῆς ἀρετῆς αὐτοῦ καὶ τῶν συνακμασάντων εἰρήκαμεν.

4–5 λαμπροτέρα ... τοῖς ἄλλοις Δ : πάντων λαμπρότερον ὁ Ἄρατος ἔγραψεν Ma Ma^{2} | ἐπισκοτήσασα *correxi* : ἐπικοτ– Δ **5** φυσικῶν Δ : κοσμικῶν Ma Ma^{2} *in mg.* ῥητορικῶν Ma^{2} **6** φησι Ma : φασὶ Δ Ma^{2} **8–9** καὶ σελήνης Ma Ma^{2} : *om.* Δ **9** ἀστέρων Δ : ἄστρων Ma Ma^{2} *fortasse recte* **10** σφαιροειδοῦς Ma Ma^{2} : –δῆ Δ **10–11** τὸν ὅλον κόσμον Δ : ὅλον τὸν κόσμον Ma Ma^{2}.

13–18 **Δ** **15** *cf. infra p. 33, l. 18* **15–16** ξείνων ... θάλος *correxi* : ξεῖνον ... θάλλος Δ.

VITA III

Aratus Latinus ET

Arati genus

Aratus patris quidem est Athinodori, matris autem Delitophilae, genere vero de Solon Ciliciae. nominatur autem civitas de Solonem Lindium. fratres autem habuit Lyrem quoque et Calliodam et Athinodorum, quem ait Euphranor in descriptione ingenio furtim rescribere apud Zoilum accusationes. permansit autem apud Antigonum regem Macedonum transeunte regno in

Γένος Ἀράτου

Ἄρατος πατρὸς μέν ἐστιν Ἀθηνοδώρου, μητρὸς δὲ Ληтοφίλας, τὸ δὲ γένος ἀπὸ Σόλων τῆς Κιλικίας. ὠνομάσθαι δέ φασι τὴν πόλιν ἀπὸ Σόλωνος τοῦ Λινδίου. ἀδελφοὺς δ' ἔσχε Λύρην τε καὶ Καλλιώδαν καὶ Ἀθηνόδωρον, ὅν φησιν Εὐφράνωρ . . . ἀντιγράψαι πρὸς τὰς Ζωίλου κατηγορίας. διέπρεψε δὲ παρὰ Ἀντιγόνῳ, ὃς ἐβασίλευσε Μακεδονίας, παρελθούσης τῆς βασιλείας εἰς αὐτὸν τρόπον τοῦτον. μετὰ τὴν

Aratus Latinus (*ed. Maass, Comm. Ar. Rell. pp. 146–150*); **Maximi Planudis Arateus codex Edimburgensis (E)**, *ex quo derivatur* **Tricliniana recensio (T)** *quae in codice Ambrosiano C 263 inf. invenitur; vide supra praef. p. XXXII Latinos codices non contuli.* | *titulus* E : γένος Ἀράτου. θέωνος Ἀλεξανδρέως T (*idem Triclinius Theoni scholiorum nostrorum corpus tribuit, vide supra praef. p. XXX* **10** *post* Εὐφράνωρ *lacunam indicavi*: *titulus operis in versione Latina* **12** διέπρεψε ET: διέτριψε *Ruhnken fortasse recte* (permansit *Lat.*)

ipsum sicuti hunc. post Alexandri obitum obtinuit Macedoniam Arideus, qui cognominatus est Philippus. isto autem defuncto successit Seleucius Victor, quem interficit Ptolomeus Fulminalis cognominatus, Ptolomaei Salvatoris et Eurydicis filius, qui regnavit in Macedonia. perempto autem illo a Galatis sibi elegerunt Macedones Sosthenem, post quem regnavit in eis Antigonus Philippi. cuius fit puer Demetrius Obsessor, Demetrii autem Antigonus Geniculosus, apud quem frequentabat ut Perseus Stoicus et Antagoras Rodius qui Thebaida fecit et Alexander Aetolus, ut ipse ait Antigonus apud quem Hieronimus. adsistens quidem regis primum vero illi carmen exposuit apud Pana Arcadiensem. idem ipso iubente scripsit ea quae videntur.

frequentabat autem

Ἀλεξάνδρου τελευτὴν ἐκράτει τῆς Μακεδονίας Ἀριδαῖος ὁ κληθεὶς Φίλιππος. τούτου δὲ ἀποθανόντος, διεδέξατο Σέλευκος ὁ Νικάνωρ, ὃν ἀναιρεῖ Πτολεμαῖος ὁ κληθεὶς Κεραυνός, Πτολεμαίου τοῦ Σωτῆρος καὶ Εὐρυδίκης υἱός, ὃς βασιλεύει Μακεδονίας. ἀναιρεθέντος δὲ αὐτοῦ ὑπὸ Γαλατῶν ἑαυτοῖς αἱροῦνται Μακεδόνες Σωσθένην, μεθ' ὃν βασιλεύει αὐτῶν Ἀντίγονος Φιλίππου, οὗ γίνεται παῖς Δημήτριος ὁ Πολιορκητής, Δημητρίου δὲ Ἀντίγονος ὁ Γονατᾶς, παρ' ᾧ διέτριβεν αὐτός, καὶ σὺν αὐτῷ Περσεὺς ὁ Στωικὸς καὶ Ἀνταγόρας ὁ Ῥόδιος ὁ τὴν Θηβαΐδα ποιήσας καὶ Ἀλέξανδρος ὁ Αἰτωλός, ὡς αὐτός φησιν ὁ Ἀντίγονος ἐν τοῖς πρὸς Ἱερώνυμον. ἐπισταθεὶς δὲ τῷ βασιλεῖ πρῶτον μὲν αὐτῷ ποίημα ἀνέγνω τὸ εἰς τὸν Πᾶνα τὸν Ἀρκαδίας, εἶτ' ἐκείνου κελεύσαντος ἔγραψε τὰ Φαινόμενα.

ἐκέχρητο δὲ ὁ Ἄρατος

---

3 Ἀριδαῖος *edd.*: ἀρδαῖος ET **5** διεδέξατο E: διεδ– τὴν ἀρχὴν T **18** Γονατᾶς *edd.*: γαλάτας E γονάτας T **19** αὐτὸς E: αὐτός τε Ἄρατος T **25** πρὸς *Ruhnken*: περὶ ET

Aratus ad Zenonem Stoicum philosophum et scribitur ei epistula apud eumdem.

didicit quidem et Odisseam, ut gecraustius inquit quasi praesidens ab imperatore et Heliadam scripsisse seu Homerum dirigere; vitiatum enim illum a compluribus.

factus est autem nimis multum litteratus vir, sicut testatur Callimachus adsistens ei ab infantia propter Praxiphanem Mytilenum (fr. 460 Pf.)

Dositheus autem Pelusinus in quo apud Diodorum venire inquit et apud Antiochum Seleucium et permanere ad eum tempore sufficiente.

eam quoque quae videntur subministrationem accepit ei Antigonus dans illud Eudoxi conscriptum et iubens adhaerere illi. unde quidam de mollibus recensitorum

Ζήνωνι τῷ στωικῷ φιλοσόφῳ, καὶ γέγραπται αὐτῷ ἐπιστολὴ πρὸς τοῦτον.

διώρθωσε δὲ καὶ τὴν Ὀδύσσειαν . . . .

ἐγένετο δὲ σφόδρα πολυγράμματος ἀνήρ, ὡς μαρτυρεῖ ὁ Καλλίμαχος . . . .

Δωσίθεος δὲ ὁ πολιτικὸς ἐν τῷ πρὸς Διόδωρον ἐλθεῖν φησιν αὐτὸν καὶ πρὸς Ἀντίοχον τὸν Σελεύκου καὶ διατρῖψαι παρ' αὐτῷ χρόνον ἱκανόν.

τὴν δὲ τῶν Φαινομένων ὑπόθεσιν παρέβαλεν αὐτῷ ὁ Ἀντίγονος δοὺς τὸ Εὐδόξου σύγγραμμα καὶ κελεύσας ἕπεσθαι αὐτῷ. ὅθεν τινὲς τῶν ἀπαλωτέρως προσερχομένων ταῖς ἐξηγήσε-

---

7–11 *lacunam testatur interpres Latinus; vide Hist. Text. p. 174* **14–17** *cf. supra Vit. I, p. 9* **18** Δωσίθεος *Meineke*: δοσίθεος ET | πολιτικὸς ET: pelusinus *Lat.* **22** διατρῖψαι *edd.*: διατρίψαι ET **25** παρέβαλεν *Ruhnken*: παρέλαβεν ἐν ET **29** ἀπαλωτέρως E: ἀπαλοτέρων T

putaverunt non mathematicum esse Aratum. susceperunt enim nihil aliud quorum Eudoxi videntur facere illum in conscriptum reponi. huic autem conscientiae habetur et Hipparchus Bithineus. in quibus enim apud Eudoxum et Aratum probat hoc declarasse. consentit autem ei et Dionisius ... Arati et Homeri de mathematicis, sicut ait non ponimus illum medicum esse quod scriberet medicinales virtutes, neque mathematicum ponamus nihil mirum dixisse quibus Eudoxus. vim moderatur. erat enim et scire magnum loqui peritiae mathematicae. repperimus autem illum et super ...

σιν ἔδοξαν μὴ μαθηματικὸν εἶναι τὸν Ἄρατον. ὑπέλαβον γὰρ μηδὲν ἕτερον τῶν Εὐδόξου Φαινομένων [ποιῆσαι] αὐτὸν εἰς τὸ σύγγραμμα θεῖναι. ταύτης δὲ τῆς γνώμης ἔχεται καὶ Ἵππαρχος ὁ Βιθυνός. ἐν γὰρ τοῖς Πρὸς Εὔδοξον καὶ Ἄρατον πειρᾶται τοῦτο ἀποδεικνύναι. συναγορεύει δὲ αὐτῷ καὶ Διονύσιος ... . ἐν τῷ Περὶ συγκρίσεως Ἀράτου καὶ Ὁμήρου περὶ τῶν μαθηματικῶν, ὅσπερ γέ φησιν "οὐ τίθεμεν αὐτὸν ἰατρὸν εἶναι γράψαντα Ἰατρικὰς δυνάμεις, οὐδὲ μαθηματικὸν θήσομεν οὐδὲν ξένον εἰπόντα τῶν Εὐδόξου". βιάζονται δ' οὐ μετρίως. ἦν γὰρ καὶ τὸ εἰδέναι μεταφράσαι ἐμπειρίας μαθηματικῆς. εὑρήσομεν δὲ αὐτὸν καὶ ἐπιμελέστερον τὰ πλεῖστα τοῦ Εὐδόξου ἐπιστάμενον. ἤδη καὶ ὁ Καλλίμαχος, συνεγγίζων αὐτῷ κατὰ τοὺς χρό-

---

5 ποιῆσαι ET (facere *Lat.*) : ποιήσαντα *Meineke seclusi* **12–13** *lacunam statuit Maass, qui Posidonii nomen excidisse vidit, collato Anonymo II, 3* (*vide supra p. 5*) **16** ὅσπερ γε E: ὥσπερ γὰρ T *fortasse recte* (sicut ait *Lat. qui* ὅσπερ *ut* ὥσπερ *vertere potuit*)

νους [τοῦ] „᾿Αράτου σύγγονος ἀγρυπνίης", τῆς τῶν φαινομένων θεωρίας, διὰ τὴν παρατήρησιν.

πολλοὶ δὲ μετ' αὐτὸν ἐγένοντο Φαινόμενα γράψαντες, καὶ οὐδεμιᾶς ἀξιοῦνται φροντίδος.

καὶ περὶ μὲν τούτου τοσαῦτα.

---

1 τοῦ ᾿Αράτου E: τῷ ᾿Αράτῳ T τοῦ *seclusi et* ᾿Αράτου (*vel potius* ᾿Αρήτου) *Callimacheo versui reddidi; sed totus locus corruptus est* **2** ἀγρυπνίης (*ex* ἀγρυπνίῃ *ut vid.*) E: ἀγρυπίνης T **3** *post* φαινομένων *add.* φησὶ T **5** δὲ E: *om.* T

VITA IV

'Αράτου γένος

Ἄρατος ἐγένετο πατρὸς μὲν 'Αθηνοδώρου, μητρὸς δὲ Ληтοδώρας, ἐκ Σόλων τῆς Κιλικίας. ὠνομάσθαι δὲ τὴν πόλιν φασὶν ἀπὸ Σόλωνος τοῦ Λινδίου, ἔστι δὲ ἡ νῦν Πομπηϊούπολις. ἦν δὲ ἐπὶ Πτολεμαίου τοῦ Φιλαδέλφου, καὶ ἐσχόλασε Διονυσίῳ τῷ Ἡρακλεώτῃ, συνῆν δὲ 'Αντιγόνῳ τῷ Μακεδονίας βασιλεῖ καὶ Φίλᾳ τῇ τούτου γαμετῇ, συνήκμασε δὲ 'Αλεξάνδρῳ τῷ Αἰτωλῷ καὶ Καλλιμάχῳ καὶ Μενάνδρῳ καὶ Φιλητᾷ. ἀδελφοὺς δὲ εἶχε

Matr. 4691
Matr. 4629
VA S Pal. 40
Estensis II B 14

Matritenses 4691 et 4629 VAS Palatinus 40 (P) Estensis II B 14 *vide praef. p. XV* | *titulus* AS: γένος 'Αράτου τοῦ ποιητοῦ P γένος 'Αράτου Est ἄλλως Ma ἄλλως. περὶ τοῦ βίου αὐτοῦ Ma^{2} *om.* V **1** Ἄρατος MaMa^{2} VSPEst: ὁ Ἄρ– A | ἐγένετο πατρὸς μὲν SP: πατρὸς μὲν MaMa^{2} πατρὸς μὲν ἦν VAEst **2** Λητοδώρας ASP: λατοφίλας MaMa^{2} ληνηδώρας V ληνοδώρας Est | *ante* ἐκ Σόλων *add.* τὸ δὲ γένος A | ἐκ VASPEst: ἀπὸ MaMa^{2} | ὠνομάσθαι P: ὠνομάζετο MaMa^{2} ὠνόμασται VAEst ὠνόμασε S **2–3** τὴν πόλιν SP: ἡ πόλις Ma Ma^{2} VAEst **3** φασὶν SP: *om.* MaMa^{2} VAEst | *post* πόλις *add.* αὐτοῦ σόλους (*sic*) A **3** Λινδίου VAP: λινδείου S *ut vid.* λευανδρίου Ma λευανδίου Ma^{2} λυδίου Est | *post* Λινδίου *add.* ὥς φησιν 'Αριστοτέλης AEst **4** ἦν VASPEst: ἐγένετο MaMa^{2} **5** Ἡρακλεώτῃ VASPEst: – κλειώ – Ma Ma^{2} **6** Μακεδονίας βασιλεῖ ASP: βασιλεῖ Μακεδόνων Ma Ma^{2} Μακεδόνων βασιλεῖ VEst | Φίλα *codd.* Est^{sl}: φύλα Est **7** τῷ Αἰτωλῷ *om.* V **7–8** καὶ Καλλ– καὶ Μενάνδρω καὶ Φιλητᾶ PEst: καὶ Καλλ– καὶ φιλιτᾶ S καὶ φιλητᾶ καὶ καλλ– καὶ μελανχρίω MaMa^{2} καὶ φιλητᾶ V καὶ καλλ– καὶ μελανδρίω καὶ φιλητᾶ A **8** εἶχε *codd.*: ἔσχε Ma

τρεῖς, Μύριν Καλώνδαν καὶ Ἀθηνόδωρον, ὃς πρῶτος ἀντειπεῖν λέγεται Ζωίλῳ τῷ κατὰ τῆς ὁμηρικῆς ποιήσεως γράψαντι. σχολάσας δὲ ὁ Ἄρατος Περσαίῳ τῷ φιλοσόφῳ Ἀθήνησι καὶ συνελθὼν αὐτῷ εἰς Μακεδονίαν μεταπεμφθέντι ὑπ' Ἀντιγόνου καὶ παρελθὼν εἰς τὸν Ἀντιγόνου καὶ Φίλας γάμον καὶ εὐδοκιμήσας, τὸ λοιπὸν τοῦ χρόνου διέτριψεν αὐτόθι. ἦν δὲ Ἀντίγονος υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ καὶ παρέλαβε τὴν ἀρχὴν περὶ ἑκατοστὴν καὶ πέμπτην ὀλυμπιάδα, καθ' ἣν ὁ Πτολεμαῖος ὁ Φιλάδελφος Αἰγύπτου ἐβασίλευεν. ὥστε τὸ διαθρυλλούμενον ὑπό τινων ὡς ἦν κατὰ τὸν αὐτὸν χρόνον Νικάνδρῳ τῷ Κολοφωνίῳ τῷ τὰ Θηριακὰ ἐκθεμένῳ καταφανῶς ψεῦδος δείκνυσθαι [ὅτι προὔτειναν ἀλλήλοις ὁ μὲν τῷ Ἀράτῳ σκέψασθαι τὰ Φαινόμενα, ὁ δὲ Νικάνδρῳ τὰ Θηριακά]. δώδεκα γὰρ ὀλυμπιάσιν ὅλαις ὁ Νίκανδρος νεώτερος φαίνεται.

---

1 Μύριν VASPEst: μύρην MaMa² | καὶ VSPEst: *om.* Ma Ma² A **2** ἀντιπεῖν A **3** Περσαίω SP: περσίω MaMa² VAEst **4** Ἀθήνησι VASP Est: ἐν Ἀθήναις MaMa² | συνελθὼν Ma² VASPEst: συνοδοιπόρησας Ma | αὐτῷ *om.* A **5** τὸν *om.* A **6** Φίλας *codd.* Est^sl: φύλας Est **7** αὐτόθι SP: ἐκεῖ MaMa² Est ἐκεῖσε VA **7–8** Δημητρίου τοῦ (τῆς Ma²) Πολιορκητοῦ MaMa² VA Est: τοῦ Πολ– Δημ– SP **8** περὶ ἑκ– VSPEst: παρὰ τὴν ἑκ– MaMa² περὶ τὴν ἑκ– A **9** ἣν *codd.*: ὃν S **10** Αἰγύπτου ἐβασίλευεν (–σεν MaMa²VAEst) *codd.*: *om.* P | ὥστε τὸ διαθρυλλούμενον SP: ὥστε καὶ θρυλλούμενον ἦν (ἐστὶν VA Est) MaMa²VAEst **11** τινων MaMa²VAEst: τινος SP | αὐτὸν *codd.*: αὐτοῦ P^ac *ut vid.* **12** κολωφωνίω MaMa² | τῷ τὰ θηριακὰ ἐκθεμένω SP: τὸ (*sic*) τὰ θηριακὰ A τῶ τὰ θηριακὰ γράψαντι Est *om.* MaMa²V **12–13** καταφανῶς ψεῦδος (ψευδῶς A) δείκνυσθαι ASP (*cf. infra* Est): ψευδῶς MaMa² V *hic om.* Est **13sqq.** *post* ψευδῶς *deficiunt* MaMa² **13** ὅτι προὔτειναν SP: λέγουσι γὰρ (τε Est) προτεῖναι (προυτεῖναι A) VAEst **13–p. 21,1** ὁ μὲν τῶ (*om.* VA) Ἀρ– σκέψ– τὰ Φαινόμενα, ὁ δὲ Νικ– τὰ Θηρ– VASP: ὁ μέν, Νικάνδρω σκέψασθαι τὰ φαινόμενα, ὁ δέ, Ἀράτω τὰ Θηρ– Est *qui add.* τοῦτο δὲ καταφανῶς ἐστι ψεῦδος (*sic Ald. edd.*) | ὅτι ... Θηριακὰ *seclusi* (*cf. supra Vit. I, p. 8, ll. 25sqq.*) **15** δώδεκα γὰρ (δὲ S) ὀλυμπιάσιν ὅλαις ὁ Νίκ– SP: ὁ δὲ (γὰρ Est) Νίκ– δώδεκα ὅλαις ὀλ– VAEst

ἔνιοι δέ φασι τὸν Ἄρατον Μνασέου πατρὸς γεγονέναι. Ἀριστοθήρου δέ τινος μαθηματικοῦ ἤκουσεν. ἰατρὸς δὲ προηγουμένως, καὶ ποιητὴς ἐν τοῖς Ἀντιγόνου βασιλείοις. γηραίῳ δὲ τῷ Κυρηναίῳ ἐπεβάλετο, παρ' οὗ καὶ ἐπιγφάμματος ἠξιώθη. συνήκμασε δὲ Νικάνδρῳ τῷ Κολοφωνίῳ τῷ μαθηματικῷ καὶ αὐτῷ θεραπεύοντι ἅμα τὸν αὐτόν. ζηλωτὴν δὲ τοῦτόν φασι γενέσθαι Ὁμήρου, οἱ δὲ Ἡσιόδου μᾶλλον.

---

1 Μνασέου VEst: μνασαίου ASP **2** Ἀριστοθήρου ASPEst: –στευθ– V | ἤκουσεν S: ἤκουεν P διακοῦσαι VAEst | ἰατρὸς SP: ἰατρὸν VAEst **3** ποιητὴς SP: ποιητὴν VAEst | *post* ποιητὴν *add.* γενέσθαι VA Est **4** ἐπεβάλετο ASP: –λλετο VEst | καὶ VSPEst: δὲ καὶ A **5–6** Νικ– τῷ Κολοφ– τῷ μαθ– καὶ αὐτῷ SP: Νικ– μαθ– καὶ αὐτῷ Κολοφ– VAEst *totus locus suspiciosus* **6** θεραπεύοντι VAPEst: θεράποντι S **7** τὸν αὐτὸν SP: αὐτὸν VAEst *an scribendum* τὸν Ἀντίγονον *?* | τοῦτον φασὶ (–σὶν S) SP: φασι τοῦτον Est φασὶ VA | *huic vitae affinis ea fuisse videtur ex qua excerptum hausit codex Parisinus suppl. gr. 607 a* (*infra p. 31*).

SVDA

Suda Matr. 4691

"Α ρ α τ ο ς. Σολεὺς τῆς Κιλικίας (ἔστι γὰρ καὶ ἐν Κύπρῳ πόλις Σόλοι) υἱὸς Ἀθηνοδώρου. ἀδελφοὶ δὲ αὐτοῦ Μύρις, Καλώνδας, Ἀθηνόδωρος. ἀκουστὴς δὲ ἐγένετο γραμματικοῦ μὲν τοῦ Ἐφεσίου Μενεκράτους, φιλοσόφου δὲ Τίμωνος καὶ Μενεδήμου, γεγονὼς ἐν τῇ ρκδʹ Ὀλυμπιάδι, ὅτε ἦν Ἀντίγονος βασιλεὺς Μακεδονίας, υἱὸς Δημητρίου τοῦ Πολιορκητοῦ, ὁ Γονατᾶς κληθείς. καὶ συνῴκει τε αὐτῷ καὶ παρ' αὐτῷ ἐτελεύτησε, σύγχρονος Ἀνταγόρᾳ τῷ Ῥοδίῳ καὶ Ἀλεξάνδρῳ τῷ Αἰτωλῷ. ἐποποιός· συνέταξε δὲ βιβλία ταῦτα· τὰ Φαινόμενα, ὧν θαυμάσιος ἡ εἰσβολὴ καὶ ὁ ζῆλος ὁμηρικός· ὕμνους εἰς Πᾶνα, Σπονδοφόρους, Παίγνια, Ἀστρολογίαν καὶ Ἀστροθεσίαν, Σύνθεσιν φαρμάκων, Θηριακῶν ἐπιτήδεια, Ἀνθρωπογονίαν, Ἐπιθυτικόν, εἰς Θεόπροπον, εἰς Ἀντίγονον, Ἠθοποιίας, ἐπιστολάς, ἐπιγράμματα, εἰς Φίλαν τὴν θυγατέρα Ἀντιπάτρου, γυναῖκα δὲ Ἀντιγόνου, Ἀνατομήν, εἰς Παυσανίαν τὸν Μακεδόνα, Ἐπικήδειον Κλεομβρότου, Διόρθωσιν Ὀδυσσείας, ἐπιστολὰς ὁμοίως καταλογάδην.

Suda (*ed. A. Adler*) **Matritensis 4691 ante Vit. II et IV** (*vide praef. p. X*) **1** υἱὸς Ἀθην– *post* Κιλικίας Ma | γὰρ: δὲ Ma **2** πόλις: ἕτερα πόλις Ma **3** Μύρις: Μύρης Ma | Ἀθην–: καὶ Ἀθην– Ma **3–4** δὲ ἐγένετο *om.* Ma **4** τοῦ Ἐφ– Μεν–: Μεν– τοῦ Ἐφ– Ma **7** υἱὸς: ὁ υἱὸς Ma **7–8** ὁ Γον– κληθείς: ὁ κληθεὶς Γον– Ma **8** καὶ συνῴκει τε αὐτῷ: ᾧ συνῴκει καὶ Ma **13–14** ἐπιτήδεια *non in* Ma **17** Μακεδόνα: –δῶνα Ma **17–18** ἐπικήδειον Κλεομβρότου: ἐπικήδιον εἰς Κλεόμβροτον Ma **18–19** ἐπιστ– ὁμοίως καταλ–: ὁμοίως καὶ ἐπιστ– καταλ– Ma **19** ἕτερος "Αρατος ὁ στρατηγὸς ἀνὴρ δεινότατος καὶ ἔμπειρος πολεμῶν οὐδενὸς ἄλλου καταδεέστερος *in fine add.* Ma.

PROLEGOMENA IN PARISINO SUPPL. GR. 607A SERVATA

Περὶ τῶν οὐρανίων

1. σφαῖρά ἐστι σχῆμα †ἐπίπεδον ἐπιφανείας† πρὸς ἣν ἀπό τινος σημείου τῶν ἐντὸς τῆς σφαίρας κειμένων πᾶσαι αἱ πρὸς τὴν ἐπιφάνειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. τὸ δὲ σημεῖον κέντρον καλεῖται τῆς σφαίρας. Par

2. τί ἐστι κύκλος;

σχῆμα ἐπίπεδον ὑπὸ μιᾶς περιφερείας περιεχόμενον, πρὸς ἣν τῶν ἀπό τινος τῶν ἐντὸς τοῦ κύκλου κειμένων σημείων ἅπασαι αἱ πρὸς τὴν περιφέρειαν προσπίπτουσαι εὐθεῖαι ἴσαι ἀλλήλαις εἰσίν. τὸ δὲ σημεῖον κέντρον καλεῖται τοῦ κύκλου.

3. τί ἐστι σημεῖον;

οὗ μέρος οὐθέν· ταὐτὸν τῇ στιγμῇ, ἣν πέρας ἢ ἀρχὴν μεγέθους ὁρίζονται. ἡ δὲ γραμμὴ μῆκος ἀπλατές, ὥσπερ

---

pp. 23–31 Parisinus suppl. gr. 607a (75^{v}–83^{v}) *vide praef. p. VI et infra* M *pp. 539sqq.* **1** ἐπίπεδον ἐπιφανείας *crucibus notavi; cf.* M *infra p. 543* **1–2** πρὸς ἣν *edd.* : προσὴν Par **3** πρὸς τὴν ἐπιφάνειαν *secl. Maass* **9** πρὸς τὴν περιφέρειαν *secl. Maass* **13** οὔθεν Par | ἢ Par

ἐπιφάνεια μέγεθος διχῇ διαστατόν, περί τε μῆκος καὶ πλάτος. τὸ δὲ στερεὸν μέγεθος τριχῇ διαστατόν, ⟨περὶ⟩ πλάτος μῆκος βάθος.

4. τί ἐστι πόλος;

πόλος ἐστὶν ἐπὶ τῆς ἐπιφανείας τῆς κινουμένης σφαίρας ἀνάλογον κέντρῳ κύκλου λαμβανόμενον.

5. τί ἐστιν ἄξων;

ἄξων ἐστὶ σφαίρας εὐθεῖα ἐπιζευγνυμένη ἀπὸ τοῦ πόλου ἐπὶ τὸ κέντρον τῆς σφαίρας καὶ ἐπὶ θάτερα ἐκβαλλομένη.

6. τί ἐστι πέρας τοῦ ἄξονος;

πέρας τοῦ ἄξονός ἐστιν ὁ πόλος.

7. πόσοι πόλοι;

πόλοι εἰσὶ δύο, ὁ μὲν καθ' ἡμᾶς βόρειος, ὁ δὲ ἀντίχθοσι καταφανὴς νότιος.

8. πόσοι κύκλοι παράλληλοι;

κύκλοι παράλληλοι πέντε· ἰσημερινός, τροπικοὶ β', ἀρκτικοὶ β'. (α') ἰσημερινὸς ὁ μέγιστος τῶν παραλλήλων, ἐφ' οὗ γινόμενος ὁ ἥλιος ἰσημερίαν ποιεῖ. (β') θερινὸς τροπικός, ἐφ' οὗ ὁ ἥλιος γινόμενος θερινὰς ὡς πρὸς

---

1 μέγεθος *scripsi:* μεγέθους Par *Maass* | διχῇ *Maass:* ἀρχῆι Par | διαστατόν Par : διαστατοῦ *Maass* | περί Par : ἐπί *Maass fortasse recte* **2** περὶ *supplevi :* ἐπὶ *Maass fortasse recte* **6** λαμβανόμενον Par : –μενος *Maass* **15** καταφανὴς *Maass :* καὶ ἀφανὴς Par **20** οὗ *Treu :* ὃν Par.

ἡμᾶς ποιεῖται τροπάς· καὶ γράφεται διὰ Καρκίνου μοιρῶν η΄. (γ΄) χειμερινὸς δέ, ἐφ᾽ οὗ γινόμενος χειμερινὰς ἐργάζεται τροπὰς περὶ μοῖραν Αἰγοκέρωτος ὀγδόην. (δ΄) ὅτι τῶν ἀρκτικῶν ὁ μέν ἐστι βόρειος καὶ ἀειφανὴς καθ᾽ ἡμᾶς, (ε΄) ὁ δὲ νότιος, τὸ ἀφανὲς διορίζων ἀπὸ τοῦ φαινομένου.

9. ὅτι ὁ ἰσημερινὸς ταύτην ἔλαχε τὴν ἐπωνυμίαν ἐπειδὴ πρὸς πᾶσαν οἴκησιν μένει ἰσημερινός, τῶν δὲ τροπικῶν ὁ μὲν ἡμῖν θερινὸς τοῖς ἀντίποσι χειμερινὸς γίνεται, ὁ δὲ ἡμῖν χειμερινὸς ἐκείνοις θερινός, τοῖς δὲ ὑπὸ τῷ ἰσημερινῷ οἰκοῦσιν οἱ δύο τροπικοὶ χειμερινοὶ τυγχάνουσιν, ἐπειδὴ μακρότατα ἀφίσταται αὐτῶν ὁ ἥλιος.

10. περὶ ἀνεγκλίτων καὶ κεκλιμένων τόπων.

ὅτι δύο τόποι εἰσὶν ἀνέγκλιτοι, ὁ ὑπὸ τῷ ἰσημερινῷ καὶ ὁ ὑπὸ τοῖς πόλοις, οἱ δὲ λοιποὶ πάντες ἐγκεκλιμένοι, οἳ μὲν πρὸς ἄρκτον, οἳ δὲ πρὸς μεσημβρίαν.

11. πόσαι ζῶναι τῆς γῆς;

σφαιροειδοῦς τῆς γῆς οὔσης ζῶναι αὐτῆς εἰσι πέντε, εὔκρατοι μὲν δύο αἱ μεταξὺ τῶν τροπικῶν, ἀπὸ Καρκίνου ἕως τοῦ βορείου πόλου καὶ ἀπὸ τοῦ Αἰγοκέρωτος, τοῦ χειμερινοῦ τροπικοῦ, ἕως τοῦ νοτίου πόλου (αὗται αἱ δύο ζῶναι μόναι οἰκοῦνται), δύο δὲ ζῶναι ἕτεραι κατεψυγμέναι ὑπὸ τοῖς δυσὶ πόλοις, αἳ καὶ ἀοίκητοι, μία δὲ ἡ μέση τῶν τροπικῶν τοῦ χειμερινοῦ καὶ θερινοῦ, λέγω δὴ ἡ ἀπὸ Καρκίνου ἕως Ὑδριχόου λεγομένη διακεκαυ-

---

9 ἀντίποσι *edd.* : ἀντείποσι Par **22–23** τοῦ *ante* Αἰγ– *et* τοῦ χειμερινοῦ τροπικοῦ *secl. Maass*

μένη, καὶ αὐτὴ ἀοίκητος. ὥστε δύο μὲν ζῶναι οἰκοῦνται, τρεῖς δέ εἰσιν ἀοίκητοι.

12. ὅτι εἰ μὴ ἦν σφαιροειδὴς ἡ γῆ, οὐκ ἂν προανατολαὶ καὶ προκαταδύσεις ἐγίνοντο. Ἀλεξάνδρου γοῦν ἐν Ἀρβήλοις παραταττομένου Δαρείῳ ἡ σελήνη ἐξέλιπε ζῳδίου μέγεθος ἀφεστῶσα τοῦ ὁρίζοντος, ἡ δὲ αὐτὴ ἔκλειψις τοῖς ἐν Σικελίᾳ ὑπὸ τὸν ὁρίζοντα ἐγένετο.

13. ὅτι ἀπὸ τῆς ἐπιφανείας τῆς γῆς ἕως τοῦ οὐρανοῦ δύο ἄστρων ἐστὶ διάστημα, οἱονεὶ ἕκτον μέρος [ἐστὶ] τοῦ ὁρίζοντος· ὁ γὰρ ὁρίζων ἔχει ἄστρα δώδεκα, καὶ ἡ διάστασις ἄστρα δύο. ἡ γὰρ τοῦ ἑξαγώνου πλευρὰ λέγεται ἴση εἶναι τῇ ἐκ τοῦ κέντρου καὶ ἑκάστη ἴση δυσὶ ζῳδίοις, καὶ οὐδὲν τὸ διαφέρον, εἴτε ἐπὶ τῆς ὄψεως λέγοιτο εἴτε ἐπὶ τοῦ κέντρου τῆς γῆς, ὡς ἀδιαφορούσης τῆς ἐκ τοῦ κέντρου πρὸς τὴν ἐκ τῆς ἐπιφανείας τῆς γῆς ὄψιν.

14. περὶ ἀπλανῶν καὶ πλανητῶν.

ὅσα τῶν ἄστρων ἐκ τῶν αὐτῶν ἀεὶ τόπων τὰς ἀνατολὰς ποιεῖται καὶ εἰς τοὺς αὐτοὺς καταδύσεις, ταυτὶ δὴ ἀπλανῆ καλεῖται, ὅσα δὲ ἀμείβει τάς τε ἀνατολὰς καὶ τὰς δύσεις ἐξ ἄλλων τόπων εἰς ἄλλους, ταυτὶ δὴ πλανώμενα ἐπίκλην, οὐχ ὅτι πλανᾶται (τεταγμένως γὰρ φέρονται), ἀλλ' οἱ ἀρχαῖοι μὴ συνιέντες αὐτῶν τῆς τάξεως ἐκείνως ἐκάλεσαν, ἡμεῖς δὲ τῇ συνηθείᾳ ἑπόμενοι οὕτως καλοῦμεν, ὥσπερ καὶ τὰς ἐκλείψεις, καίτοι σαφῶς εἰδότες οὐκ ἐκλείψεις οὔσας, ἀλλ' ἐπιπροσθήσεις. καὶ τῶν μὲν ἀπλανῶν τῶν σὺν τῷ παντὶ περιαγομένων τὰ μὲν ἀκατονόμαστα ἡμῖν καὶ ἀπερίληπτα, ὡς καὶ Παρμενίδης ὁ

---

3 ἦν *edd.* : ἣν Par | οὐκ ἂν *edd.* : οὐκὰν Par **5** ἐξέλιπε *edd.* : –εν Par **9** ἄστρων *Maass* : ἀστέρων Par ἐστὶ *secl. Maass* **19** δὴ *Maass* : δὲ Par **24** επόμενοι Par

φυσικὸς εἴρηκε (Diels, Vors. 28 A 40), τὰ δὲ κατωνομασμένα ὡς ἐκ τοῦ μεγέθους χίλιά εἰσι κατὰ τὸν Ἄρατον.

15. τίνες πρῶτον ἐξεῦρον ἀστρονομίαν;

οἱ μὲν Σύρους λέγουσιν, οἱ δὲ Χαλδαίους, ἕτεροι δὲ Αἰγυπτίους.

16. τίς πρῶτος ἤνεγκε σφαῖραν εἰς Ἑλλάδα;

ὅτι Εὔδοξον τὸν Ἀσσύριον λέγουσι πρῶτον εἰς Ἑλλάδα κομίσαι σφαῖραν, ἣν δεῖ κρατεῖν τὸν ἐπιδεικνύντα τὰ φαινόμενα.

καὶ ὅτι ἀριστερὰ λέγουσι τὰ δυτικά, δεξιὰ δὲ τὰ ἀνατολικά, καθὼς καὶ Ὅμηρός φησιν (Μ 239-240).

„εἴτ' ἐπὶ δεξί' ἴωσι πρὸς ἠῶ τ' ἠέλιόν τε,
εἴτ' ἐπ' ἀριστερὰ τοί γε ποτὶ ζόφον ἠερόεντα".

17. Ἥλιος.

τὸν δὲ ἥλιον οἱ μὲν ὡρίσαντο [τὸ] πῦρ, οἱ δὲ μύδρον, ὡς Ἀναξαγόρας (Diels, Vors. 59 A 1 al.), καί φασιν αὐτὸν κυκλοτερῆ ὄντα ὀκτωκαιδεκαπλάσιον εἶναι τῆς γῆς.

18. Σελήνη.

τὴν δὲ σελήνην σύγκριμα ἐκ πυρὸς καὶ ἀέρος· διὰ

---

1 εἴρηκε *edd.* : –κεν Par **1–2** κατωνομασμένα *edd.* : κατον– Par **2** ὡς *Maass* : ἕως Par **8** ἤνεγκε *edd.* : –κεν Par **18** τὸ *secl. Maass* **20** ὀκτωκαιδεκαπλάσιον *edd.* : ὀκτοκ– Par

τοῦτο καὶ πάντων κατωτέρα τῶν ἀστέρων. οἱ δὲ κάτοπτρόν τι.

19. περὶ ἀποστάσεως τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς.

τοσοῦτον τὸ ὑπὲρ γῆς μέρος τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς ὅσον καὶ ἡ γῆ πρὸς τὸ ἕτερον αὐτῆς τέλος, τὸν καλούμενον τάρταρον. εἶτα ἐκ τοῦ μέρους ἐκείνου, τοῦ ταρτάρου, τὸ ὑπὸ τὴν γῆν ἄλλο μέρος τοῦ οὐρανοῦ πάλιν ὁμοίως διέστηκεν. ὁ γοῦν Ἡσίοδος φυσικευόμενός φησιν (Theog. 722-725)·

ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ κ' ἐς γαῖαν ἵκοιτο.

εἶτα πρὸς τὸ ἴσον [τὸ] βάθος τῆς γῆς·

ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐς γαῖαν κατιὼν δεκάτῃ κ' ἐς τάρταρον ἵκοι.

λοιπὸν δὲ καὶ ⟨τὸ⟩ ἀπὸ τοῦ ταρτάρου ἕως τοῦ ὑπὸ γῆν ἡμισφαιρίου διατεῖνον μέγεθος ἄλλο τοσοῦτόν ἐστιν ὅσον τὸ τῆς γῆς βάθος, ὥστε διὰ τριάκοντα ἡμερῶν τὰς δύο ἀρχὰς τοῦ ἄξονος δύνασθαι διανύσαι τὸν ἄκμονα.

ἀπὸ ἀνατολῶν δὲ ἐπὶ δυσμὰς στρέφεται ὁ οὐρανός.

ὁ δὲ ἄξων ἐστὶν ἀκίνητος, διήκει δὲ δι' ὅλου τοῦ οὐρανοῦ καὶ τὴν γῆν ἑαυτῷ ἐμπεπαρμένην ἔχει, καὶ ἔστιν αὐτὸς μὲν ἀκίνητος, ἐπ' αὐτῷ δὲ ὁ οὐρανὸς κινεῖται καὶ καταφέρεται τῷ δοκεῖν ἐπὶ ὠκεανόν. τὸ δὲ δοκεῖν εἶπον ἐπεὶ οὐκ ἀληθῶς, ἀλλὰ πρὸς τὴν ὑπόνοιαν οἱ ποιηταὶ ταῦτ' εἶπον· „Ἠέλιος δ' ἀπόρουσε λιπὼν πε-

---

1 κατωτέρα Par: –τέραν *Maass* | *post* ἀστέρων *add.* φασίν *Maass* **12** *et* **15** κ' *Hesiodi Pap. 19 :* δ' Par *Hesiodi codd.* (*cf.* M *infra p. 540*) **13** τὸ *secl. Maass* **15** γαῖαν *Hes. :* γαίην Par **16** τὸ *add. Maass* **17** μέγεθος Par: μῆκος *Maass in apparatu* **21** ἄξων *edd. :* ἄξον Par | διόλου Par

ρικαλλέα λίμνην" (γ 1 al.), τὸν ὠκεανόν. ἔστι γὰρ ὠκεανός, φασί, καθ' Ὅμηρον, ὃς πᾶσαν τὴν οἰκουμένην ἐμπεριέχει.

20. πόσοι κύκλοι τῆς σφαίρας;

ἡ σφαῖρα ἔχει κύκλους πέντε, ὧν ὁ μὲν ἀρκτικὸς βόρειος, β' θερινὸς τροπικός, γ' ἰσημερινὸς τροπικός, δ' χειμερινὸς τροπικός, ε' ἀνταρκτικός. καὶ ὁ μὲν ἀρκτικὸς τὰς Ἄρκτους περιέχει. ὃς καὶ βόρειος καλεῖται· ἐν γὰρ τῷ βορείῳ μάλιστά εἰσιν αἱ Ἄρκτοι, καὶ ἡ καθ' ἡμᾶς οἰκουμένη μᾶλλον βορειοτέρα ἐστίν. ὁ δὲ ἑξῆς κύκλος καλεῖται θερινὸς τροπικὸς ὅτι ὁ κύκλος ἐκεῖνος μέσον τέμνει τὸν Καρκίνον, ὃς πάντων τῶν ζῳδίων ἐστὶ βορειότερος, οὗ περὶ τὴν πρώτην μοῖραν ⟨τῇ⟩ κη' τοῦ Παϋνὶ γενόμενος ὁ ἥλιος θερινὴν ποιεῖται τὴν τροπήν. ὁ δὲ τρίτος ἰσημερινὸς τροπικός· τὴν γὰρ τῆς ἰσημερίας τροπὴν ἔχει· μέσον γὰρ τὸν Κριὸν τέμνει οὗτος ὁ κύκλος. γινόμενος οὖν τῇ κε' τοῦ Φαμενὼθ ὁ ἥλιος περὶ ⟨τὴν⟩ α' μοῖραν τοῦ Κριοῦ ἴσην τὴν ἡμέραν καὶ τὴν νύκτα ποιεῖ. διὰ τί ποιεῖται οὗτος τὴν ἰσημερίαν; ἐπειδὴ μέσος τῶν πέντε κύκλων οὗτός ἐστιν ὁ κύκλος καὶ τὸ μεσαίτατον ἔχει τοῦ οὐρανοῦ, διὰ τοῦτο ὡς πρὸς τὰ βόρεια [μέγεθος] καὶ ἐπὶ τὰ νότια ἴσον ἔχων τὸ διάστημα ἴσην ποιεῖ τήν τε νύκτα καὶ ἡμέραν. ὁ δὲ τέταρτος κύκλος χειμερινὸς τροπικός, ἐπειδὴ [γὰρ] τέμνει μέσον τὸν Αἰγόκερων. ὁ δὲ πέμπτος κύκλος ὁ καλούμενος ἀνταρκτικός. ἐναντίος γὰρ τῇ θέσει καὶ κατέναντι τοῦ ἀρκτικοῦ. ὁ δ' αὐτὸς καὶ νότιος· ἔστι γὰρ καὶ περὶ τὰ νότια. ὁ δὲ ἐν τοῖς νοτίοις οὐρανὸς οὐκ ἔστι τοῖς ἀνθρώποις θεατός, ἀλλ' ὁ βόρειος. καὶ γὰρ ἐν τῇ τῆς σφαίρας θέσει ἀφανής ἐστιν ὡς πρὸς τὴν τῆς

---

13 τῇ *add. Maass* **14** παϋνὶ Par: Ἐπιφὶ *Maass* **18** τὴν *add. Maass* **21** μεσαίτατον *edd.*: μεσότατον Par **22** μέγεθος *secl. Maass* **24** γὰρ *secl. Maass*

17. — μ ε ι λ ί χ ι α ι μ ά λ α π ᾶ σ α ι: μειλίχιαι αἱ Μοῦσαι ὅτι πρὸς πάντας καὶ καθόλου εὐμενεῖς. MA

εἶτα μ ά λ α π ᾶ σ α ι ὑφ᾽ ἕν. Vat. 191

τοὺς γὰρ λόγων †εἱλουμένους† πρᾴους ποιοῦντες. S

17-18. — ἐ μ ο ί γ ε ... ἀ σ τ έ ρ α ς ε ἰ π ε ῖ ν ἢ θ έ μ ι ς ε ὐ χ ο μ έ ν ῳ τ ε κ μ ή ρ α τ ε π ᾶ σ α ν ἀ ο ι δ ή ν: τὸ θ έ μ ι ς ἀμφίβολον. ἤτοι γὰρ τῷ προτέρῳ συναπτέον ἢ τῷ ἑξῆς, ἤτοι ἀστέρας εἰπεῖν ὡς προσῆκον τεκμήρατε, ἢ εὐχομένῳ ὡς προσῆκον παράχετε εἰπεῖν, ὦ Μοῦσαι. Vat. 191

18. — τ ε κ μ ή ρ α τ ε: πιστώσασθε, ἀπὸ τοῦ τεκμηρίου. MQA

καὶ εἰς τέλος ἀγάγετε· τὸ γὰρ τέκμωρ τέλος. ἄλλοι δὲ δείξατε. MQDΔKVA

τ ε κ μ ή ρ α τ ε: μέχρι τέλους εἴπατε· τέκμωρ γὰρ τὸ τέλος. Vat. 191

1–2 M (*om.* C) **A** *lemma* M: *om.* A.
3 Vaticanus gr. 191 (*205ʳ,36*).
4 S (*30ᵛ,31*) *scholium mutilum atque corruptum littera* x *signatur, quae in textu Phaenomenorum verbo* μειλίχιαι (*17*) *appicta est; ita revera se habet haec notula*: τοὺς γὰρ (*s. l.*) λόγων εἱλουμένους πρᾴους (πράους *in ras.*) ποιοῦντες φύσει διαλεγομένους. οὐ πάνυ αὐτῷ τῷ μύθῳ συντρέχει; *sequitur de Ursa maiore fabula* (*infra p. 74*); *verba autem* φύσει ... συντρέχει *nihil sunt nisi pars scholii ad v. 30 pertinentis* (*infra p. 80*), *quod scholium in duas partes vi tum divisum est, cum et Ursae maioris fabula et nova scholia quaedam ad vv. 28–33 pertinentia inepto loco in codicis* S *exemplar intrusa sunt; de quibus vide praef. p. XX.*
5–10 Vaticanus gr. 191 (*205ʳ,36–38*) **9** προσῆκον *Maass*: προσήκοντα Vat.
11–12 MQA *lemma* MA: *om.* Q **11** πιστώσασθε MQ: ἀντὶ τοῦ πιστ– A (*cf.* DΔKV *infra*).
13–14 MQDΔKVA *lemma hic non praebent* MQA: τεκμήρατε DΔV τὸ δὲ τεκμήρατε K **13** καὶ MQA: ἀντὶ τοῦ DΔKV (*cf.* A *supra*) | ἀγάγετε MDΔK: ἀγάγεσθε Q ἄγετε V ἄγεται A | τέκμωρ MQDΔVA: τέκμαρ K | *post* τέλος *add.* σημαίνει A.
15–16 Vaticanus gr. 191 (*205ʳ,38–39*).

MQDΔKA 19. — οἱ μὲν ὁμῶς: λέγει ὅτι οἱ ἀπλανεῖς ὁμοίως αὐτοῖς ἕλκονται, οὐ μὴν κινοῦνται, στηρίζονται γὰρ καὶ ἀναποδίζουσιν. οὐρανῷ δὲ ἕλκονται ἀντὶ τοῦ σὺν τῷ οὐρανῷ φέρονται.

MQDΔKVAA^2 ἄλλως: οἱ μὲν ὁμῶς: οἱ ἀπλανεῖς πάντες ὡς πρὸς αἴσθησιν ἐπὶ μιᾶς ὑποκείμενοι ἐπιφανείας, ὁμοίως συμπεριάγονται παντὶ μέρει τοῦ οὐρανοῦ, ὁμοιο-
MQDΔVAA^2 ταχῶς μέν, οὐ μὴν ἰσοταχῶς. ὁμοιοταχεῖς μὲν γάρ εἰσιν ἀστέρες οἱ τὰς ὁμοίας περιφερείας ἐν ἴσῳ ἔχοντες χρόνῳ καὶ διανύοντες, ἰσοταχεῖς δὲ οἱ τὰς ἴσας περιφερείας ἐν ἴσῳ χρόνῳ κινούμενοι, καθότι ⟨θᾶττον⟩ κινοῦνται οἱ ἐπὶ τοῦ ἰσημερινοῦ τῶν περὶ τοὺς πόλους κειμένων.

MQDΔVA ὁμηρικὰ δὲ τὰ ἐπιρρήματα καὶ λαμπρά, προσεχῶς τῇ ἀρχῇ τοῦ ποιήματος.

MQDΔVA^2 περισπαστέον δὲ τὸ ὁμῶς, ἵν' ᾖ ὁμοίως.

1–4 M (*om.* C) **QDΔKA** *lemma* MDΔKA: *om.* Q **2** ὁμοίως *om.* K | αὐτοῖς *Maass*: αὑτοῖς MQDΔKA | στηρίζουσι K **3** ἕλκονται *om.* K **4** φέρονται *codd.*: δὲ φαίνονται K.

5–p. 63,2 MQDΔK (*usque ad* ἰσοταχῶς *l. 8*) **VA** *hoc scholium in* V *post sch. 25* (*vide infra*); *sic in* A, *qui tamen alteram eiusdem scholii recensionem suo loco praebet e cod. Marciano derivatam* (A^2); *vide praef. p. XXIV* **5** ἄλλως M^{mg}QDΔK: *om.* A^2 VA | *lemma* MQ: τὸ οἱ μὲν ὁμοῦ A^2 *om.* DΔKV | *post lemma add.* ἀντὶ τοῦ Q | οἱ *om.* A^2 | πάντες MA^{2}Q: φησι π– DΔKVA | **6** ὡς *om.* Δ | ἐπὶ μιᾶς MA^2: ὑπὸ μιᾶς QDΔ ὑπὸ μιᾶ KVA | ὑποκείμενοι MA^{2}DΔ^{pc} *ut vid.*: ἐπικ– Δ^{ac} *ut vid.*: κείμενοι QKVA | ἐπιφανείας MA^{2}QDΔ: –νεία KVA **8** *post* ἰσοταχῶς *desinit* K | μὲν γὰρ MQDΔ: μὲν *om.* VA γὰρ *om.* A^2 **11** θᾶττον *addidi* **11–12** κινοῦνται DΔVA: κινηθήσονται MA^{2}Q **12** τῶν ... κειμένων MA^{2}QDΔVA: τοῖς ... κειμένοις *Maass ex Ald* (*sic iam* Est), *verbo* ὁμοιοταχῶς *in fine sententiae addito* **13–14** ὁμηρικὰ ... ποιήματος *om.* A^2 **13** ἐπιρρήματα Q: ἔπη M ἐπιχειρήματα DΔVA **13–14** καὶ ... ποιήματος *om.* Q | καὶ λαμπρά ... ποιήματος *scripsi*: καὶ λαμπρῶς ἢ προσεχῶς ἀρχὴ τοῦ π– M καὶ λαμπρὰ (λαμπρῶς DΔ) ἡ προσεχὴς τοῦ π– ἀρχή DΔVA **14** *post* ἀρχή *desinit scholium in* A **15** περισπ– δὲ τὸ ὁμῶς (τὸ ὁμοίως V) MA^{2}DΔV: τὸ δὲ ὁμῶς περισπ– Q | *post* ὁμοίως *finem scholii sic faciunt* DΔV: τῶ δὲ πάντ' ἤματα (ἤματι V) συνακουστέον (συντακτέον V) καὶ τὰς νύκτας

⟨ἤματα⟩ δὲ τὰς ἡμέρας· ἀκουστέον τὸ νυχθημέρως. MQA^{2}

ἄλλοι ἐόντες: πολλοὶ τῶν γραμματικῶν ἀντὶ τοῦ ἐόντες ἰόντες ἔγραψαν διὰ τὸ πάντας τοὺς ἀστέρας πορεύεσθαι. ἔστι δὲ ὁ λόγος Ἀράτῳ περὶ τῶν φαινομένων καὶ ἀπλανῶν ἀστέρων, οὐ τῶν πλανήτων τῶν ἑπτά. οἱ γὰρ ἀπλανεῖς ἀεὶ ἐπὶ τοῦ αὐτοῦ ἑστήκασι, καὶ μόνον συγκαταφέρονται καὶ ἀναφέρονται τῷ οὐρανῷ. MQDΔVA

⟨οὐρανῷ ἕλκονται⟩: [καὶ] ὑπὸ τοῦ οὐρανοῦ ἕλκονται καὶ ἀναφέρονται πᾶσαν ἡμέραν. καὶ ἐπειδὴ τοῦτο οὐκ ἤρκει, προσέθηκε τὸ συνεχές, κατὰ πᾶσαν ὥραν καὶ ἡμέραν. MQDΔVA

μάλιστα δὲ ὁ οὐρανὸς ἀδιαλείπτως κινεῖται, καθά φασιν οἱ ποιηταὶ καὶ φυσικοί, μηδὲν εἰς κίνησιν οὐρανοῦ ὀξύτερον. σκόπησαι γὰρ ὅτι ἀπὸ τοῦ ἑνὸς πέρατος τοῦ ἀνατολικοῦ τῆς γῆς ἐν ιβʹ ὥραις εἰς τὸ ἄλλο δυτικὸν ἔρχεται πέρας. ἡ δὲ τοῦ οὐρανοῦ κίνησις γίνεται ἐκ

---

1 ἤματα *addidi*: *om.* MA^{2}Q | δὲ MA^{2}: ὡς Q | τὰς *scripsi*: τῆς MA^{2}Q **1–2** νυχθημέρως MA^{2}: νυχθημέρας Q.

3–9 MQDΔVA *lemma* M: καὶ ἄλλυδις DΔA ἄλλυδις V *om.* Q **4** διὰ τὸ *scripsi*: καὶ τούτους MQ καί φασι DΔVA **5–6** ἐστὶ δὲ ... ἀστέρων MQ: Ἀράτω δὲ περὶ τῶν φαινομένων καὶ ἀπλανῶν ἀστέρων ἐστὶν ὁ λόγος DΔVA **7** γὰρ *an* δὲ *scribendum?*

10–p. 64,2 MQDΔVA *lemma addidi*: *hoc scholium cum praecedenti coniunctum praebent codd.* **10** καὶ *delendum videtur; an* ἀντὶ τοῦ? **11** καὶ ἀναφέρονται MQA: *om.* DΔV **12** τοῦτο QDΔVA: ταῦτα M | τὸ MQ: καὶ τὸ DΔVA **12–13** κατὰ ... ἡμέραν *om.* Q **14** μάλιστα QDΔVA: μᾶλλον M **15** μηδὲν (εἶναι *add.* A) εἰς κίνησιν οὐρανοῦ ὀξύτερον QDΔVA (*post* οὐρανοῦ *dist.* Q): μηδὲν εἶναι ὀξύτερον εἰς κίνησιν οὐρανοῦ M **16** σκόπησαι DΔ: σκοπῆσαι MQ σκόπησον VA *ut vid.* (*evan.*) | γὰρ *om.* Q | ὅτι MQ: πῶς DΔVA | τοῦ ἑνὸς MQ: τοῦ πρώτου VA πρώτου DΔ **17–18** εἰς ... πέρας MQA (ἄλλο A ἄλλον A^{sl}): τῶ (ἐν τῶV) δυτικῶ καταντᾶ πέρατι DΔV

τινων ἀναθυμιάσεων κατὰ τοὺς φυσικούς, αἵτινες [ἀναθυμιάσεις] ῥυθμῷ τινι αὐτὸν κινοῦσιν.

MA ἄλλως: οἱ μὲν δὴ ἀστέρες πολλοὶ ὄντες καὶ κατ' ἄλλους ἄλλως τόπους κατεστηριγμένοι, συμπεριφέρονται τῷ οὐρανῷ καθ' ἑκάστην ἡμέραν. ὁ δὲ νοούμενος ἄξων οὐδὲ κατ' ὀλίγον κινεῖται, μένει δὲ ἀσάλευτος, ἔχων τὴν γῆν μέσην καὶ ἰσόρροπον. περὶ δὲ τὸν ἄξονα ὑπὸ τῆς
M ἑαυτοῦ δίνης ὁ οὐρανὸς κινεῖται. τῶν δὲ [περὶ] τὸν οὐρανὸν [ὃν] περὶ τῷ ἄξονι περατοποιούντων πόλων δύο, ὁ μὲν εἷς ἀφανὴς διὰ παντὸς ὑπὸ τῆς γῆς ⟨ὁ⟩ καλούμενος νότιος, ὁ δὲ ἀειφανὴς ὑπὲρ τὸν ὁρίζοντα διὰ παντὸς ὁρώμενος, ὁ καλούμενος βόρειος. ἐξ ἑκατέρου μέρους τοῦ βορείου πόλου Ἄρκτοι κατεστηριγμέναι τὴν ἴσην πορείαν ποιοῦνται.

Q ἄλλως: οὐρανῷ ἕλκονται: ἀντὶ τοῦ ὑπὸ τοῦ οὐρανοῦ, ὁμηρικῷ σχήματι· „Ἀχιλῆϊ δαμασθείς“ (Χ 55). ἐμφαίνει δὲ διὰ τούτων τοὺς ἀστέρας κινεῖσθαι ἐν ἐπιφανείᾳ τοῦ κόσμου, καθάπερ ἐνδεδημένους καὶ ἐστηριγμένους ἐν τῷ πέρατι τοῦ κόσμου. αὕτη δὲ ἡ ὑπόνοια ἰδιωτική. κεῖνται γὰρ οἱ ἀστέρες οὐκ εἰς ἐπιφάνειαν, ἀλλ' ἐν βάθει πολλῷ τοῦ αἰθέρος, καὶ ἐν διαφόροις ὑψώμασιν ἀπὸ τῆς γῆς ἀφεστηκότες. ταύτην δὲ τὴν πρόληψιν ὁ Ἄρατος ἐν ὅλῃ τῇ ποιήσει τετήρηκεν. λέγει οὖν ἀγάλματα νυκτὸς ἰούσης (453) καὶ αἰὲν ἄρηρεν (22) καὶ ἐν οὐρανῷ ἐστή-

---

1 τινων ἀναθυμιάσεων **MVA**: τινος ἀναθυμιάσεως **QDΔ** **1–2** ἀναθυμιάσεις *delendum puto.*

3–8 MA ἄλλως **MA** **3** καὶ **M**: *om.* *Estense codicis* **A** *apographum,* **A** *ipse evan.* **4** ἄλλως **M**: ἄλλοι **Est A** *evan.* **5** ἡμέραν **M**: *om.* **A.**

8–14 M περὶ *et* ὃν *seclusi*: τῶν δὲ περὶ τὸν οὐρανὸν οἱ περὶ τῷ ἄξονι περατοποιοῦντες πόλοι *Maass* **10** ὁ *add. Maass*: *om.* **M** **13** κατεστηριγμέναι *Maass*: –νοι **M.**

15–p. 65,2 Q **16** Ἀχιλῆϊ Hom.: –λλ **Q** **21** βάθει Q^{pc}: θάθει Q^{ac} | αἰθέρος Q^{pc}: ἀστέρος Q^{ac} | **24** *aptior videretur esse versus laudatus, si integer esset* (οὐρανῷ εὖ ἐνάρηρεν ἀγάλματα νυκτὸς ἰούσης) **25–p. 65,1** ἐστήριξεν *Aratus*: ἐστήρικται **Q**

ριξεν (10). εἰδέναι δὲ ⟨δεῖ⟩ ὅτι ἀπὸ σημείου ἐπὶ τὸ αὐτὸ σημεῖον ἡμέραν ἐπιλαμβάνει.

20. — οὐρανῷ ἕλκονται: τί ἐστιν οὐρανός; ὁ περιέχων τὰ πάντα πλὴν αὐτοῦ. MQDΔVA

τί ἐστιν ἄξων; διάμετρος τοῦ κόσμου εὐθεῖα, διὰ τῶν πόλων ἐπιζευγνυμένη, μέσον μὲν ἔχουσα τὴν γῆν, τοὺς δὲ δύο πόλους πέρατα. MDΔVA

καὶ περὶ ταύτην μένουσαν ἡ σφαῖρα στρέφεται. MA

21. — μετανίσσεται: οὐδὲ τὸ τυχὸν μετακινεῖται, ἀλλὰ διὰ παντὸς μένει ἀσάλευτος. S

ὁ δὲ ἄξων οὐδὲ τὸ τυχὸν μετακινεῖται, ἀλλὰ μένει ἀσάλευτος. Q

22. — ἄξων αἰὲν ἄρηρεν: τὸν ἄξονα συμβέβηκε νοεῖσθαι εὐθεῖάν τινα καὶ ἀσώματον γραμμὴν ἀπὸ τοῦ βορείου πόλου μέχρι τοῦ νοτίου, καὶ διὰ μέσης πεφυκυῖαν τῆς γῆς, ἣν συμβέβηκε κέντρον εἶναι τοῦ MQDΔVA

---

1 δεῖ *addidi* | εἰδέναι κ. τ. λ. : *haec adnotatio ad* ἤματα (*20*) *pertinet; verbo* ἤματα *viginti quattuor horas ab Arato significari dicit interpres* **2** ἐπιλαμβάνει Q^pc^: ἐπερι– Q^ac^ *ut vid.*

3–8 *et* **13sqq.** = *sch. Aesch. Prom. 349 (P, Dindorf p. 212), vide praef. p. XXVII.*

3–4 MQDΔVA *cf. infra p. 539* **3–4** τί ... αὐτοῦ (*sic*) Q *sine lemmate post sch. 18* **4** τὰ πάντα DΔV: τὰ ἄλλα πάντα MQA | αὐτοῦ *edd.*: αὐτοῦ MQDΔVA.

5–7 MDΔVA *cf. supra p. 24* **6** πόλων MA: πολλῶν DΔ πολῶν V | ἐπιζευγνυμένη MDΔA: –νος V | μέσον *scripsi*: –σην MDΔVA **7** πόλους MDΔV: πόλλους (ω *supra*) A | πέρατα MDΔA: –τι V.

8 MA ταύτην M: ταῦτα A | μένουσαν *Maass*: –σα MA *cf. Anon. II,1 Maass p. 129,24*: εὐθεῖα νοητή, περὶ ἣν μένουσαν ὁ κόσμος στρέφεται | στρέφεται M: καὶ στρ– A.

9–10 S (*31^r^ mg. inter.*) *cf. supra p. 64, l. 5–6 et vide praef. p. XIX.*

11–12 Q *sine lemmate post scholii 20 fragmentum; vide supra ad l. 3 et praef. p. XIX.*

13–p. 66,4 MQ (*post sch. 21*) **DΔVA** *lemma* MDΔ: ἄξων αἰὲν VA *om.* Q **13** τὸν ἄξονα *om.* Q **13–14** συμβέβηκε δὲ Q | –βέβηκε νοεῖσθαι εὐθεῖάν τινα καὶ ἀσω– *om.* A *qui exemplaris sui lineam unam praeteriit* **15** τοῦ *om.* Q | καὶ μέχρι A | καὶ *om.* VA **16** πεφυκυίας Q | ἣν *ad* τῆς γῆς *spectat* | συμβέβηκε κέντρον εἶναι MDΔVA: κέν– εἶν– συμβ– Q

κόσμου, τῇ ἰδίᾳ φύσει, καθ' ἣν ἀμετακίνητός ἐστι, καὶ ἀσάλευτον αὐτὴν περιέχει τὴν θέσιν. τὰ δὲ πέρατα τοῦ οὐρανοῦ, ἃ δὴ παρὰ τοῖς ἄκροις τοῦ ἄξονος ἐξ ἑκατέρων τῶν μερῶν νοοῦνται, πόλοι [ταῦτα] καλοῦνται.

Ar. Lat. habet autem pondus totum medium terrae terrenum. differt enim per totum caelum seu terram aculeo suo quod in circuitu habet et dividit medi-

MQDΔVA ἀτάλαντον ἁπάντῃ: διήκων γὰρ διὰ παντὸς τοῦ οὐρανοῦ, εἰκότως τὴν γῆν, κέντρον αὐτοῦ οὖσαν, περιέχει καὶ διαιρεῖ [αὐτήν]. μέσην οὖν τὴν γῆν διαπείρει, ὥσπερ τὰ πλευρὰ

---

1 τῇ ἰδίᾳ φύσει: *de axis natura agitur, non terrae* | ἀμετακίνητός ἐστι καὶ *om.* Q | καὶ M: *om.* DΔVA **2** αὐτὴν MΔA: αὐτῇ DV *om.* Q αὐτὴν *id est* τὴν γῆν; τὴν θέσιν *vero aut adverbii loco usurpatur, aut delendum est; de verbi* περιέχειν *usu cf. infra sch. 525* | περιέχει M: ἔχει Q περιέχων DΔVA | *post* θέσιν *ad sch. 19 redit* Q **4** ταῦτα M: *om.* DΔVA *fortasse recte.*

5–p. 68,13 *haec tria scholia pessime translata quartum obtinent locum in prolegomenorum serie Arati qui dicitur Latini; vide praef. p. XV et J. Martin, Hist. Text. p. 140; a Maassio edita sunt (Comm. Ar. Rell. p. 145), sed primus Rehm (Berl. Phil. Woch. 1899) haec cum Graecis scholiis contulit. Latinos codices non vidimus.*

5–p. 68,13 Ar. Lat. 5–7 habet ... terrenum = *Ar. 22–23* (ἔχει δ' ἀτάλαντον ἁπάντῃ μεσσηγὺς γαῖαν)

5–p. 67,7 MQDΔVA *lemma* MDΔVA (ἀτ–): μεσσύγῆς (*sic*) Q **8–9** αὐτοῦ οὖσαν MQ: αὐτοῦ *om.* DΔ αὐτοῦ οὖσαν *om.* VA **9** διαιρεῖ *scripsi ex Ar. Lat.* (dividit): διαπείρει MQDΔVA **10** αὐτὴν *seclusi, cf. Ar. Lat.* | μέσην MQDΔA (mediam *Ar. Lat.*): μέσον V **10–11** οὖν ... διαπείρει *om.* Q **10** οὖν MDΔV: δὲ A **11** ὥσπερ τὰ πλευρὰ *scripsi* (*cf. Ar. Lat.* sicut per latera): ὥσπερ τὰ πλευρὰ τοίνυν M τὰ πλ– τοίνυν DΔVA τὰ γὰρ πλ– Q

am quoniam terram pertundit sicut per latera axis terrae aequaliter illam habet et ab eo ponderatam ubique. aequalem enim ex utraque parte illam facit ipse medio constans et in duo eam dividens.

aut imponderatam ubique aequalem et similem. et ipsa enim est in modum sphaerae seu et caelum ita et terra sicuti primis quidem facta aequam eam caelum stellantia

[τὰ παρ' ἑκάτερα] τοῦ ἄξονος τῆς γῆς ἴσην αὐτὴν ἔχει καὶ ὑπ' αὐτοῦ ταλαντευομένην. ἴσην γὰρ αὐτὴν ἐξ ἑκατέρου μέρους ποιεῖ αὐτὸς μέσος ὢν καὶ εἰς δύο αὐτὴν διαιρῶν.

⟨ἢ⟩ ἀ τ ά λ α ν τ ο ν ἁ π ά ν τ η: ἴσην καὶ ὁμοίαν. καὶ αὐτὴ γὰρ σφαιροειδὴς ⟨ὡς⟩ καὶ ὁ οὐρανός. Ἡσίοδος· „γαῖα δέ τοι πρῶτον μὲν ἐγείνατο ἶσον ἑαυτῇ / οὐρανὸν ἀστερόεντα". Ar. lat. MQDΔKVA

1–2 pertundit = διαπείρει.

1 τὰ παρ' ἑκάτερα *ut glossam seclusi* (*cf. Ar. Lat.*) : *praebent* MQDΔVA (τοῦ παρ' . . .) τὰ πλευρὰ *eae lineae rectae sunt quae terrae polos cum aequatore coniungunt* **2** τῆς γῆς MQA (*cf. Ar. Lat.*) : *om.* DΔV **4–6** ἴσην . . . ὢν MDΔVA (ἰὼν) : ἴσην ποιεῖ ἐξ ἑκατέρου μέρους μέσος αὐτὸς ὢν Q **7** διαιρῶν MQDΔV (dividens *Ar. Lat.*) : τέμνει A.

10–16 MQDΔKVA **10** ἢ *addidi ex Ar. Lat.* | *lemma* MDΔKVA : *om.* Q **11** ἴσην QDΔVA : τὴν ἴσην MK **13** ὡς *addidi ex Ar. Lat.* **13–14** Ἡσίοδος QDΔV : ἡισίοδος M καὶ ἡσ– KA **14** τοι MDΔKVA : τὸ Q **15** μὲν *om.* QK | γείνατο K | ἴση K **16** ἀστερόεντα QΔKVA : ἀστερόντα MD *ut vid.*

ut iam per omnia vel et per circuitum simili modo

Ar. Lat. MQDΔKVA

pondere aequalem per spatium sicut semispheriis quantum enim a terra habet altitudinem hoc semispherium tantum habet quod subtus terra longitudinem aliud semispherium. ipsa enim in medio iacet duobus semispheriis.

ἢ ἀ τ ά λ α ν τ ο ν, ἴσην κατὰ διάστημα ὡς πρὸς τὰ δύο ἡμισφαίρια. ὅσον γὰρ ὑπὲρ γῆς ἔχει ὕψος τοῦτο τὸ ἡμισφαίριον, τοσοῦτον ἔχει τὸ ὑπὸ γῆν μῆκος ἄλλο ἡμισφαίριον. αὐτὴ γὰρ ἐν μέσῳ τῶν δύο ἡμισφαιρίων κεῖται.

MQDΔVA 23. — π ε ρ ὶ δ' ο ὐ ρ α ν ό ς: πολλὴ καὶ διάφορος ἐνταῦθα ζήτησις περὶ τὴν γραφὴν ἐγένετο τοῖς μαθηματικοῖς καὶ γραμματικοῖς. οἱ μὲν γὰρ γραμματικοὶ ἀγνοήσαντες εἶπον· „περιάγει ὁ οὐρανὸς τὸν ἄξονα". ἔστι δὲ τοῦτο τῶν ἀτοπωτάτων. εἰ γὰρ ἀκίνητον αὐτὸν ἀπεδώκαμεν, [καὶ] αὐτοῦ τοῦ Ἀράτου ἄντικρυς εἰπόντος (21-22) ἀ λ λ ὰ μ ά λ' α ὔ τ ω ς / ἄ ξ ω ν α ἰ ὲ ν ἄ ρ η ρ ε ν, πῶς αὐτόν φασι

1–3 *sic pergit Hesiodi versus:* ἵνα μιν περὶ πάντα καλύπτοι (*vel* πᾶσαν ἐέργοι).

4–12 MQDΔKVA 4 ἴσην V: τὴν ἴσην MQDΔKA **5** διάστημα DΔV: τὸ διάστ– MQKA | πρὸς MKVA: τὸ πρὸς QDΔ **6–8** ὅσον ... ἡμισφαίριον *scripsi ex Ar. Lat.*: ὅσον γὰρ ἀπὸ τοῦ περὶ αὐτὸ (αὐτὸν QDΔVA ὑπὲρ αὐτὴν K) τὸ ὕψος ἡμισφαιρίου MQDΔKVA **9** ἔχει *scripsi ex Ar. Lat.*: ἐπὶ MQDΔKVA **10** ἄλλο *om.* Q.

14–p. 69,6 MQDΔVA *lemma* DΔVA: οὐρανὸν ἀγινεῖ M *om.* Q οὐρανὸς *legit et defendit interpres* **15** τοῖς A (*coniectura*): *om.* MQDΔV **15–16** μαθηματικοῦ καὶ γραμματικοῦ V **16** γὰρ *om.* VA | ἀγνοήσαντες MDΔVA: ἀγνοή– *om.* Q *spatio vacuo relicto* **17** ὁ οὐρανὸς MQDΔ: οὖν εἰς V οὖν ὁ οὐρανὸς A **18** καὶ *seclusi* **20** ἄρηρεν QDΔ: -ρε MVA **20–p. 69,1** αὐτόν φασι περιάγεσθαι *scripsi*: αὐτόν φασιν περιάγεσθαι αὐτόν φασιν Q αὐτοὶ (οὗτοι *Maass*) περιάγεσθαι αὐτόν φασιν MDΔVA

περιάγεσθαι; ἀλλ'οἱ μὲν μαθηματικοὶ τὸ αυτὸν δασύνουσιν, ἵν ᾖ ἑαυτόν. ὁ δὲ λόγος· „περὶ δὲ τὸν ἄξονα ἄγει καὶ στρέφει ὁ οὐρανὸς ἑαυτόν". δύναται δὲ καὶ οὕτως ψιλουμένου τοῦ αυτόν, ἵν'ᾖ ὡς πρὸς τὰ προειρημένα· „περὶ δὲ τὸν ἄξονα αὐτόν πάντα τὰ ἄστρα ὁ οὐρανὸς ἀγινεῖ (ὡς τὸ προειρημένον) καὶ περιφέρει."

ἄλλως: περιάγει, φησίν, ὁ ἄξων τὸν οὐρανόν. οὐκ οὕτως MAS
δὲ ἔχει. ὁ γὰρ οὐρανὸς ἀφ' ἑαυτοῦ στρέφεται. ὥσπερ δὲ λέγομεν ὅτι ὁ χρόνος πάντα φέρει, καὶ τοὺς ὁδοιπόρους ἡ ὁδός, οὕτω καὶ ὁ ἄξων τὸν οὐρανόν.

24. — καί μιν πειραίνουσι: ἀντὶ τοῦ περα- MQDΔVUA
τοῦσι. τὰ γὰρ τοῦ ἄξονος πέρατα δύο εἰσὶ πόλοι, οὓς καὶ αὐτὸς ἐπάγει.

τοῦ δὲ ἄξονος τὰ πέρατα πόλοι εἰσὶν εἰρημένοι. περὶ γὰρ αὐτοὺς πολεῖται ὁ οὐρανὸς καὶ στρέφεται. γραμμὴ δέ ἐστιν εὐθεῖα [ἡ] ἀπὸ σημείου ἀρξαμένη <καὶ εἰς σημεῖον λήγου-

---

1 οἱ μὲν οἱ μαθ– Q | μαθητικοὶ VA | αυτὸν *Maass*: αὐτὸν MQΔV αὑτὸν D αὐτὸ A **2** τὸ ἑαυτὸν M | περὶ MDΔVA: παρὰ Q | τὸν *om.* Q **2–5** ἄγει ... ἄξονα *om.* A **3** ὁ οὐρ– ἑαυτὸν MQDΔ: ἑαυτὸν ὁ οὐρ– V : οὔτω D **4** αυτόν *Maass*: αὐτὸν MQDΔV | ὡς πρὸς τὰ προειρημένα M: ὡς πρὸς τὰ εἰρημένα DΔV *om.* Q **6** ὡς τὸ προειρημένον *om.* A *fortasse recte.*

7–10 MAS (*31ʳ mg. inter.*) ἄλλως M *in mg.*: *om.* AS **7** *in initio add.* ἀντὶ τοῦ M **7–8** οὐκ ... ἔχει *om.* S **8** γὰρ MA: δὲ S | στρέφεται MA: φέρεται S **9–10** καὶ ... ὁδός *om.* S **10** οὕτω καὶ S: οὕτω MA | οὐρανὸν S: οὐρανὸν φέρει MA.

11–p. 70,4 MQDΔVUA *in* U *haec tantum leguntur*: ||||| τοῦ περατοῦσι· εἰρημένοι (?) πόλοι περὶ γὰρ αὐτοὺς (?) πολεῖται καὶ ||||||| οὐρανὸν περιφερ |||||||: – *transit deinde ad Callistus fabulam* (*sch. 27*) | *lemma* MDΔVA: πειραίνουσι Q U *mutil.* **12** δύο *codd.*: οἱ δύο *Maass fortasse recte* | *post* πόλοι *dist.* MD: *post* δύο Δ *post* εἰσι V *non dist.* A **12–14** εἰσὶ ... πέρατα *om.* Q **14–15** περὶ ... στρέφεται MQ: περὶ γὰρ αὐτὸν ὁ οὐρανὸς στρέφεται (στρέφει VA) DΔVA **16** ἡ *seclusi* | σημείου MDΔ: τινος σημείου Q ἀσημασίας V σημασίας A | καὶ ... λήγουσα *addidi praeeunte* Est (*unde Ald*)

σα,> ὡς ἔστι τὸ ὑποκείμενον. ἀπὸ γάρ τινος ἀρχῆς ἐποιήσαμεν τὴν γραμμὴν καὶ εἴς τι τέλος ἐλήξαμεν. ἡ δὲ εὐθεῖα γραμμὴ τοῦ ἄξονος τοὺς δύο πόλους ἔχει [τοὺς] ἀπὸ σημείου εἰς σημεῖον.

MQDΔVA 25. — ἀ λ λ ' ὁ μ ὲ ν ο ὐ κ ἐ π ί ο π τ ο ς : οὐκ ἐσαφήνισεν ὁποῖον λέγει, ἀλλὰ διὰ τοῦ ἐπιφερομένου ἐσήμανε [τὸ ποῖον λέγει], δηλονότι τὸν νότιον. ζητητέον δὲ τί δήποτε τὴν ἀρχὴν ἐθέλων ποιήσασθαι πρῶτον τοῦ νοτίου ἐμνήσθη. καί φαμεν ὅτι ἤμελλε διατρίψαι ἐν τῷ βορείῳ πόλῳ, καὶ διὰ τοῦτο τὸν νότιον προέταξε τοῦ βορείου.

MQDΔVA 26. — ὑ ψ ό θ ε ν ὠ κ ε α ν ο ῖ ο : ἀντὶ τοῦ ὠκεανοῦ. ὑψηλότερος γάρ ἐστι καὶ ἀειφανής, οὐδέποτε δυόμενος. καὶ Ὅμηρος περὶ τῆς Ἄρκτου, ἥτις ἐστὶν ἐν τούτῳ· „οἴη δ' ἄμμορός ἐστι λοετρῶν ὠκεανοῖο" (Σ 489, ε 275). μόνη γὰρ οὐ δύεται, τῶν ἄλλων δυομένων <ἢ ὅλων> ἢ ἀπὸ μέρους τινός, ὡς ὁ Κηφεὺς ἀπὸ ἄκρας κεφαλῆς.

MA ἄ λ λ ω ς : ὠκεανὸν λέγει ὁ Ἄρατος τὸν ὁρίζοντα. ποιη-

---

1 ἔστι *ante* τὸ ὑπ– DΔVA: *post* ὑπ– Q *om.* M *figuram in infima archetypi pagina appictam fuisse intellexit Maass* | ἀπὸ γάρ τινος *om.* Q | ἀρχῆς MDΔVQ^pc^: μαχῆς Q^ac^ *ut vid.* ἀρχὴν A **2** γραμμὴν MQDΔ: ἀρχὴν γραμμὴν VA | ἡ δὲ QDΔVA: ἡ μὲν M **2** τοὺς *seclusi.*

5–10 MQDΔVA *lemma* MDΔA: ἀλλ' ὁ μὲν Q **5–6** ἐσαφήνισεν ὁποῖον DΔVA: ἐσαφήνισε ποῖον M –σε τὸ ποῖον Q **6–7** ἐσήμανε (ἐδήλωσε A) . . . νότιον MA: καὶ τοῦτο (–τον DΔ) ἐδήλωσε, δηλονότι τὸν (τὸ V) νότιον DΔV δηλοῖ ὅτι τὸν νότον (*sic*) λέγει Q τὸ ποῖον λέγει *seclusi* **7** *post* ζητητέον *dist. et* δὲ *om.* V **8–9** νοτίου MDΔ: νότον QVA **9** ἤμελλε MQ: ἔμ– DΔVA | διατρίψαι MDΔA: διὰ (*in extrema linea*) διατρίψαι Q διατρίψειν VA^sl^ **10** τὸν MDΔVA: τὸ Q | *transeunt* VA *ad sch. 19 supra p. 62, l. 5.*

11–16 MQDΔVA *lemma* DΔA: ὑψόθεν ἐκ βορέαο M ὑψόθεν τοῦ ὠκεανοῦ Q *om.* V **11** ἀντὶ τοῦ ὠκεανοῦ MDΔ: *om.* QVA **12** ὑψηλότερος MDΔVA: –τερον Q | *post* οὐδέποτε *add.* δὲ Q **14** ἄμμορος MDΔVA: ἄμοιρος Q **15** μόνη MQDΔA: μόνον V δύεται MQA: δύνει DΔV | ἢ ὅλων *add. Maass* **16** κεφαλῆς MQDΔ: κόσμου V κόσμου κεφαλῆς A.

17–p. 71,9 MA 17–p. 71,1 ποιητικῶς M: –κὸς A

τικῶς δὲ <ὠκεανός> ἐστιν ὁ ὁρίζων, μεθ' ὃν οὐδὲν ἔτι ἐστίν, ἐπειδὴ ἡ ἐκτὸς θάλασσα καὶ μεγάλη ὠκεανὸς καλεῖται, παρ'ὅσον ὠκέως ῥεῖ. κύκλῳ μὲν γὰρ τὴν καθ' ἡμᾶς περίκειται οἰκουμένην, ἐξ αὐτοῦ δὲ καὶ εἰς αὐτὸν αἵ τε δύσεις καὶ ἀνατολαὶ γίνονται, καθάπερ καὶ Ὅμηρος πολλαχοῦ εἴρηκεν. παρηκολούθηκε δὲ αὐτῷ <ὠκεανὸν> εἰπόντι τὸν ὁρίζοντα. δημιουργῷ γὰρ τῷ Ἡφαίστῳ χρησάμενος τῆς Ἀχίλλεως ἀσπίδος, ἣν ὑπέθετο κόσμου μίμημα, τελευταῖον τὸν ὠκεανὸν ἐποίησεν.

ὁ δὲ Ἡρόδοτος (II,23; IV,36) οὐ παραδέχεται τὸν ὠκεα- MQDΔVA
νὸν τὸ σύμπαν, λέγων πλάσμα τι εἶναι ποιητικόν. Ἀτλαντικὸν δὲ αὐτὸ πέλαγος . . .

ὠκεανὸν λέγει τὸν ὁρίζοντα ἀπὸ τοῦ ὠκέως πάντα τὰ Q
ἄστρα καὶ ἀνατέλλειν καὶ δύνειν. πρότερος δὲ Ὅμηρος ὠκεανὸν τὸν ὁρίζοντα προσηγόρευσε λέγων ἐπὶ μὲν τῆς ἀνατολῆς „Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων / ὤρνυθ'" (T 1), ἐπὶ δὲ τῆς δύσεως „ἐν δ' ἔπεσ' Ὠκεανῷ λαμπρὸν φάος ἠελίοιο" (Θ 485).

26—27. — δύω δέ μιν ἀμφὶς ἔχουσαι: τὸν βόρειον MQDΔVA
πόλον.

---

1 ὠκεανὸς *addidi salva codicum interpunctione*: *post* ποιητικῶς *dist. atque* ἔστι δὲ *scripsit Maass* | ἔτι M: *om.* A **2** ἡ M: *om.* A **3** κύκλῳ M: κύκλος A | ἡμᾶς A: ἥμας M **4** αὐτοῦ M: αὐτῶν A | τε M: τὰς A **5** καθάπερ καὶ M: *om.* A **6** ὠκεανὸν *hic addidi*: *post* εἰπόντι *iam* Est *e coniectura* **8** τῆς M: τὴν τοῦ A | ἀσπίδος M: ἀσπίδα A.

10–12 MQDΔVA **10** Ἡρώδ– Q **11** λέγων MQDΔV: δὲ λέγει A | πλάσμα τι εἶναι DΔV: τί (*sic*) πλάσμα εἶναι M πλάσμα εἶναι A εἶναι τι πλάσμα Q | ποιητικόν MQDΔA: –κῶν V **12** *post* πέλαγος *add.* καλεῖ Est *e coniectura* λέγει *Maass cf. Hdt. I 202* (ἡ ἔξω στηλέων θάλασσα ἡ Ἀτλαντὶς καλεομένη).

13–18 Q **16** ἀνατολῆς *scripsi*: ἀνατολικῆς Q **17** ὤρνυθ' *Homeri codd.*: ὤρνυθες Q | ἐν *Homeri codd.*: ἀν Q.

19–p. 72,7 MQDΔVA *lemma* M: ἄρκτοι ἅμα DΔV δύο δέ μιν ἀμφὶς ἔχουσι A *om.* Q **19 20** τὸν . . . πόλον MQ: περὶ τὸν β– πόλον (*sine interpunctione post* πόλον) DΔV τὸν β– πόλον δηλονότι A

Ἄρκτοι ἅμα τροχόωσιν ἀντὶ τοῦ ἅμα τρέχουσι. διὰ τοῦτο γὰρ ἅμαξαι ὠνομάσθησαν. δισσαὶ γάρ εἰσιν, ὧν τὴν μὲν μείζονα Ναύπλιος εὗρε, τὴν δ' ἐλάττονα Θαλῆς ὁ σοφός. λέγει δὲ τὴν ἐλάττονα εἰκόνα εἶναι κυνός, ἥτις ἦν Καλλιστοῦς, ὅτι συγκυνηγὸς ἦν τῇ Ἀρτέμιδι. ἀποθανούσης δὲ αὐτῆς ἀπέθανε. τὸ δὲ ὄνομα ἔχει διὰ τὸ οὐρὰν κυνὸς ἔχειν.

MUA 27. — Ἄρκτοι: τὴν μίαν τούτων τὴν μεγάλην, ἣν μετ' ὀλίγον ὀνομάζει Ἑλίκην. Ἡσίοδος (fr. 163 Merkelbach-West) δέ φησι Λυκάονος θυγατέρα εἶναι, καὶ ἐν Ἀρκαδίᾳ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν περὶ

---

1 *post* τροχόωσιν *add.* A περὶ τὸν βόρειον πόλον ἄρκτοι ἅμα τροχόωσι (*cf.* DΔV) | ἅμα τρέχουσι MQVA: τρέχουσιν ἅμα DΔ **1–2** διὰ τοῦτο γὰρ MQ: διὰ γὰρ τοῦτο DΔVA **2** καὶ *ante* ἅμαξαι *add.* M | *post* ὠνομάσθησαν *inserit p. 76, ll. 7–9* Q | γὰρ MDΔVA: δὲ Q **3** μείζονα MQ: πρώτην DΔVA | τὴν δ' (δὲ Q) ἐλάττονα MQ: τὴν δὲ δευτέραν τὴν ἐλάσσονα DΔVA | Θαλῆς MQDΔ: θάλης V θαλάσσης A **4** *post* σοφός *praebet* Q *p. 73, ll. 20sqq.* (*Ursae maioris fabulam*) | λέγει δὲ τὴν ἐλάττονα MDΔVA: φασὶ δὲ καὶ περὶ αὐτῆς Q | εἰκόνα εἶναι κυνός QDΔV: κυνὸς εἰκόνα εἶναι M εἰκόνα κυνὸς εἶναι A | *quis* λέγει *? «scil. aut is quem exscribo aut certus quidam scriptor, cuius nomen excidit» Maass; an Eratosthenes? sed fortasse* λέγουσι *scribendum est* **5** ὅτι *codd.*: ὅτε *Maass nescio quo ex fonte* | συγκυνηγὸς ἦν MQA: συγκοινωνὸς ἦν τῆς θηρείας DΔV **6** *ante* ἀπέθανε *add.* καὶ αὐτὴ Q | οὐρὰν MQVA: τὴν οὐρὰν DΔ **7** *transit* A *ad p. 76, l. 7.*

8–p. 73, 19 MUA *hanc Ursae maioris fabulam diversis e fontibus hauserunt et scholiis admiscuerunt* M (*unde* U A) *et librarii qui codicum* QS *exemplaria scripserunt. nunc eam fabulam talem edendam esse censui, qualis in codice quoque prostat, nulla emendatione adhibita; veram editionem eius aliquando fortasse curabo, in qua cetera testimonia, Planudeam Epitomen, Hyginum, Scholia in Germanici Aratea, Aratum denique qui dicitur Latinum adhibebo; interpunctionem codicum servavi, nisi quod commatibus nonnumquam puncta commutavi* | *in mg.* περὶ ἄρκτων M | *lemma* ἄρκτοι M: περὶ ἄρκτων A *om.* U *spatio vacuo relicto* **10** θυγατέρα MA: θυγατὴρ U

τοὺς θῆρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι. φθαρεῖσαν δὲ ὑπὸ Διὸς ἐμμεῖναι ἐν τοῖς πρότερον λέγουσι τῇ Ἀρτέμιδι τὸ σύμπτωμα. ἤδη δὲ ἐπίτοκον οὖσαν ὀφθῆναι ὑπ' αὐτῆς λουομένην, ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτήν. καὶ οὕτως τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδα. οὖσαν δὲ ἐν τῷ ὄρει θηρευθῆναι ὑπὸ αἰπόλων τινῶν, καὶ παραδοθῆναι Λυκάονι μετὰ τοῦ βρέφους. μετὰ χρόνον δέ τινα δόξαι εἰσελθεῖν εἰς τὸ Λύγκαιον, ὅ ἐστι τοῦ Διὸς λεγόμενον ἄβατον, ἀγνοήσασαν τὸν νόμον ὑπὸ τοῦ ἰδίου υἱοῦ διωκομένην. καὶ αὐτῶν τῶν Ἀρκάδων ἀναιρεῖσθαι μελλόντων, διὰ τὸν εἰρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγένειαν αὐτῆς ἐξείλετο, καὶ ἐν τοῖς ἄστροις αὐτὴν ἔθηκεν, Ἄρκτον δὲ αὐτὴν ὠνόμασε διὰ τὸ πτῶμα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς ἑπτὰ ἀμυδρούς, ἐφ' ἑκατέρων τῶν νώτων δύο, ἐπὶ τοὺς ὠμοπλάτας α', ἐπὶ τοὺς ἔμπροσθε πόδας δύο, ἐπ' ἄκρον τῆς ῥάχεως ἕνα λαμπρόν, ἐπὶ δὲ τοῦ ὀπισθίου σκέλους δύο, ἐπ' ἄκρων τῶν ποδῶν β', ἐπὶ τῆς κέρκου τρεῖς. οἱ πάντες κδ'.

καὶ περὶ τῆς μείζονος Ἡσίοδος λέγει· Καλλιστὼ Λυκάονος θυγατέρα, ἐν Ἀρκαδίᾳ δὲ κατοικοῦσαν ἑλέσθαι μετὰ τῆς Ἀρτέμιδος τὴν περὶ τὰς θήρας ἀγωγὴν ἐν τοῖς ὄρεσι ποιεῖσθαι. φθαρεῖσαν δὲ ὑπὸ Διὸς μὴ δηλῶσαι Q

---

1 τοὺς θῆρας M : τὰς θη|||| U τῆς θήρας A **2** ἐμμεῖναι . . . οὖσαν M : ἐμμεῖναι ἐν τοῖς πρότερον μὴ ἀγγεῖλαι τὸ σύμπτωμα τῇ ἀρ||||| U (*quae sequuntur usque ad* ὀργισθεῖσαν τὴν *l. 4 vix leguntur*) καὶ ἤδη μέλλουσαν τεκεῖν A **9** λύγκαιον MA: λυκίον U *ut vid.* **10** διωκομένην MA: διωκομένην δὲ U **10–11** καὶ . . . μελλόντων MA : καὶ μέλλουσαν ὑπὸ τῶν Ἀρκάδων ἀναιρεῖσθαι U **11–12** διὰ . . . νόμον *om.* U | εἰρημένον νόμον MA[pc] : εἰρημένων νόμων A[ac] **14** πτῶμα M : σύμπτωμα UA **14–19** ἔχει . . . κδ' *om.* U **15** νώτων MA : *immo* ὤτων (ὠτίων *Catast.*, aures *Ar. Lat.*) | δύο M : ζ. δύο A *qui sic pergit semper ante numerum interpungens* **16** τοὺς . . . πόδας M : τοῖς . . . ποσὶ A | ἄκρον M : ἄκρων A **17** δὲ M : *om.* A **18** δύο M : ζ' A | τρεῖς M : *om.* A.

20–p. 74,10 Q (*post* σοφὸς *supra p. 72, l. 4*)

τῇ Ἀρτέμιδι τὸ σύμπτωμα. ἤδη δὲ ἐπί[. .]μον οὖσαν ὀφθῆναι ὑπ' αὐτῆς λουομένης. ἐφ' ᾧ ὀργισθεῖσαν τὴν Ἄρτεμιν θηριῶσαι αὐτὴν καὶ οὕτω τεκεῖν ἄρκτον οὖσαν τὸν κληθέντα Ἀρκάδιον. μετὰ χρόνον δέ τινα δόξαι εἰς τὸ Λύκαιον εἰσελθεῖν τὸ τοῦ Διὸς ἄβατον ἀγνοή⟨σα⟩σαν τὸν νόμον ἐκδιωκομένην ὑπὸ τοῦ ἰδίου υἱοῦ. ἀμφοτέρων δὲ ὑπὸ τῶν Ἀρκάδων ἀναιρεῖσθαι μελλόντων ὁ Ζεὺς διὰ τὴν συγγένειαν ἐξείλετο αὐτούς, καὶ ἐν τοῖς ἄστροις ἔθηκεν, Ἄρκτον δὲ αὐτὴν ὠνόμασεν, διὰ τὸ σύμπτωμα.

Q ἡ δὲ μικρὰ Ἄρκτος ὑπὸ τῶν πλείστων Φοινίκη λέγεται.

S τὴν μείζονα Ἄρκτον Ἡσίοδος εἴρηκεν, Λυκάονος εἶναι θυγατέρα ἐν Ἀρκαδίᾳ δὲ κατοικοῦσαν ἑλέσθαι μετὰ Ἀρτέμιδος τὴν θήραν ἐν τοῖς ὄρεσι ποιεῖσθαι. φθαρεῖσαν δὲ ὑπὸ τοῦ Διὸς πρότερον λέγουσι τῇ Ἀρτέμιδι λέγουσι τὸ σύμπτωμα. ἡ δὲ ἐπὶ τόκον οὖσαν ὀφθῆναι ὑπ' αὐτῆς λουόμενον. ἐφ' ὧ ὀργισθεῖσαν τὴν θεὸν θηριῶσαι αὐτήν, καὶ οὕτως τεκεῖν ἄρκτον καὶ κληθῆναι Ἀρκάδιν. τὸν γὰρ Δία φασὶν Ἀρτέμιδι ὁμοιωθέντα ἐλθεῖν εἰς τὸ ὄρος, καὶ συγκυνηγετοῦσαν ὀφθῆναι αὐτῷ. μετὰ δὲ τὸν χρόνον τῆς γαστρὸς μετεώρου γενομένου μηδὲν αἴτιον τοῦ συμπτώματος πλὴν Ἄρτεμιν. ἐφ' ὧ ὀργισθεῖσαν τὴν θεὸν θηριῶσαι αὐτήν. μετὰ δὲ χρόνον τινὰ ἔδοξεν εἰσελθεῖν εἰς τὴν τοῦ Διὸς αὐλήν, ἐκδιωκομένους δὲ ὑπὸ τοῦ Διὸς καὶ ὑπὸ τῶν Ἀρκάδων μελλόντων ἀναιρεῖσθαι διὰ

---

1 *duarum litterarum spatium vacuum relictum* Q **6** ἀγνοήσαν Q *ut vid.*

11–12 **Q** *Ursae minoris fabulae initium; cf. infra sch. 39* (S).

13–p. 75,6 **S** (*30ᵛ,32–31ʳ,16*) **19–24** τὸν γὰρ Δία ... θηριῶσαι αὐτήν: *hanc fabulam ab Amphide comico fictam* (*vide infra codicem* Q *p. 90, ll. 13–18*) *Latinorum scriptorum* (*Hyg. II, 1; Arat. Lat.; Schol. Germ.*) *testimonio in Catasterismis quondam fuisse docebamur; sed Graeca testimonia, quae nunc affero duo, adhuc deerant*

τὸν προειρημένον νόμον, ὁ Ζεὺς διὰ τὴν συγγένειαν ἐξείλετο αὐτοὺς καὶ ἐν τοῖς ἄστροις ἔθηκεν Ἄρκτον ὀνομάσας διὰ τὸ σύμπτωμα. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς. ζʹ. ἀμαυροὺς ἐφ' ἑκατέρων τῶν νώτων βʹ ὁ ὠμοπλάτης εἷς, (. . . .) λαμπρὸν αʹ, ἐπὶ ποδὸς ὀπισθίου βʹ. κέρκου, τρεῖς.

MUAS

οὐ χρὴ δὲ ἐν τῷ οὐρανῷ τινὰ οἴεσθαι ἄρκτους ἢ ἁμάξας, ἀλλὰ πέντε τὰς αἰτίας εὐλόγως τῆς ἀστροθεσίας τίθενται. ἢ γὰρ καθ' ὁμοίωσιν τοὔνομα τῷ ἄστρῳ, ὥσπερ ὁ Σκορπίος, ἢ κατὰ πάθος, ὡς ὁ Κύων (δοκοῦσι γὰρ ἐπὶ τῇ ἀνατολῇ τοῦ Κυνὸς λυττᾶν οἱ χερσαῖοι κύνες ὡς ἐπὶ πλήθους), ἢ μυθικῶς, ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον, ἢ κατὰ τιμήν, ὡς οἱ Διόσκουροι Δίδυμοι, ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζῳδίων. αἱ τοίνυν Ἄρκτοι Ἅμαξαι μὲν καθ' ὁμοιότητα, Ἄρκτοι δὲ μυθικῶς.

3–6 *stellarum catalogus corruptus* **3** ὠμοπλάτης *scripsi*: ὠμοπλα^τ S **5** *lacunam indicavi.*

7–16 **MUAS** (*32ʳ, 4–8*) *cf. anonymum excerptum a Maassio editum* (*Comm. Ar. Rell. p. LXIX*) *e codice Cantabrigiensi Ll 4 12* (*f. 87ᵛ, ll. 23–27*) *quem ipse inspexi*: ἔθεντο δ' οὖν τὰς προσηγορίας δι' αἰτίας εὐλόγους πέντε· καθ' ὁμοίωσιν, ὡς ἐπὶ τοῦ Σκορπίου, ἢ κατὰ πάθος, ὡς ἐπὶ τοῦ Κυνὸς (δοκοῦσι γὰρ ἐπὶ τῇ τούτου ἀνατολῇ λυττᾶν οἱ χερσαῖοι κύνες ὡς ἐπὶ τὸ πλεῖστον), κατὰ τιμήν, ὡς ἐπὶ τῶν Διοσκούρων, καὶ μυθικῶς, ὡς ἐπὶ τῆς μεταβληθείσης Καλλιστοῦς εἰς ἄρκτον, ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ τῶν ζῳδίων πλεῖστα **7** ἐν τῶι οὐρανῶι τινὰ οἴεσθαι MA: τινα ἐν τῶ οὐρανῶ οἴεσθαι U οἴεσθαι ἐν τῶ οὐρανῶ S | *post* ἄρκτους *add.* εἶναι S | ἢ MS: καὶ U *ut vid.* A **8** πέντε *om.* S | τὰς MS: *om.* A U *mutil.* | *ante* εὐλόγως *add.* ἃς M | εὐλόγως MA: –γους S (*cf.* Cant) *fort. recte* U *mutil.* **8–9** τῆς ἀστρ– τίθ– MU: τίθ– τῆς ἀστρ– AS **9** τῶι ἄστρωι MUA: τοῦ ἄστρου S **10** *post* δοκοῦσι U *tam mutilus est, ut nihil discerni possit* **11** ἐπὶ *om.* S | κύνες AS: κῦνες M **12–15** ὡς ἐπὶ . . . ζῳδίων *om.* S **12** ὡς ἐπὶ πλήθους *om.* A | πλήθους M: πλεῖστον Cant *et codicis* M *apographa Vat. 1307 Casanatensis 356* (C) *sic Maass fort. recte* **15** *post* τοίνυν ἄρκτοι *add.* ἁματροχόωσι καὶ (*v. 27*) S.

Par. δεῖ γινώσκειν ὡς κατὰ πέντε αἰτίας ἡ ἀστροθεσία γέγονεν· ἢ καθ' ὁμοίωσιν ὥσπερ ὁ Σκορπίος, ἢ κατὰ πάθος ὡς ὁ Κύων, ἢ μυθικῶς ὡς ἡ μεταβληθεῖσα Καλλιστὼ εἰς ἄρκτον, ἢ κατὰ τιμὴν ὡς Διόσκουροι οἱ Δίδυμοι, ἢ διορισμοῦ καὶ διδασκαλίας χάριν, ὡς τὰ πολλὰ τῶν ζῳδίων.

MQUA ἅμα τροχόωσιν: ἀλλήλαις ἐπιφέρονται. καὶ γὰρ ἐπιεικῶς ἐν ταῖς ὁδοῖς ἀκολουθοῦσιν ἀλλήλαις αἱ ἅμαξαι, ἴσῳ τάχει τῶν βοῶν χρωμένων ἐν τῇ πορείᾳ. διαγράφεται δὲ ἐν ἑκατέρᾳ πλινθίον τι καὶ ὁ ῥυμός· οἱ μὲν τέσσαρες ἐν τῷ σώματι πλινθίον, ῥυμὸς δὲ ἡ οὐρά. Ὅμηρος Ἄρκτον κυρίως, Ἅμαξαν δὲ κατ' ἐπίκλησιν.

MQDΔVA τὸ δὴ καλέονται Ἅμαξαι: διὰ τοῦτο,

1–6 Par. suppl. gr. 607a *(83ᵛ,10sqq.)* **5** Δίδοιμοι Par | *cf. Ar. Lat. (Maass, Comm. Ar. Rell. p. 258 et J. Martin, Hist. Text. p. 141)* tamen etsi figuras compositas vides hominum transfiguratas non aestimandum est quod in veritate, sed historiae causa stellas tibi demonstrans ad significandam rationem earum, et quaedam apertius declarantur *(inter versus 372 et 381)*.

7–13 MQU *(valde mutil.)* **A** *in* Q *haec adnotatio (post* πορείᾳ *l. 9 interrupta) in sch. 26–27 inter verba* ὠνομάσθησαν *et* διτταὶ *(supra p. 72, l. 2) inserta est; eam enim alio ex fonte haustam* M *et* Q *alio loco descripserunt; in* U *eodem loco eam habemus atque in* M, *in* A *ante Callistus fabulam (supra p. 72, l. 8)* | *lemma* M (ἁματρ–): καὶ ὅτι ἅμα τροχόωσιν Q *om.* A U *mutil.* **7** ἐπιφέρονται MQ: –φύονται A U *mutil.* | *ante* καὶ γὰρ *lemma* τὸ δὴ καλέονται ἅμαξαι *add.* A **7–8** καὶ γὰρ MA: ὅτι καὶ Q **8** ἐπιεικῶς MA: *om.* Q | ἀκολ– ἀλλ– MA: ἀλλ– ἀκολ– Q **9** ἴσῳ τάχει MQ: ἰσοταχει *(sic)* A **10** ἑκατέρᾳ M: ἑκατέρῳ A | ῥυμὸς M^{pc}A: ῥυγμὸς M^{ac} **11** οἱ μὲν ... πλινθίον *om.* A **12** ὅμηρος M: ὁ μὲν A | ἄρκτον M: ἄρκτϊ A **12–13** *cf. Σ 487 (= ε 273)* Ἄρκτον θ' ἣν καὶ ἅμαξαν ἐπίκλησιν καλέουσιν.

14–p. 77,4 MQDΔVAS *(32ʳ,2–4) (om.* U *ut vid.) lemma* M: τὸ δὴ καλέονται DΔVA τὸ δὴ S καλοῦνται δὲ ἅμαξαι Q **14** διὰ τοῦτο ... ἔσχον MDΔVA: διὸ δὴ ἅμαξαι τὴν ὀνομασίαν ἔσχον, ἢ διὰ τὸ τρέχειν αἱ ἅμαξαι S *omnia om.* Q

φησί, διὰ τὸ τρέχειν ὡς ἅμαξαι, ταύτην τὴν ὀνομασίαν ἔσχον, ἢ διὰ τὸ ἔχειν σχῆμα ἁμάξης τῶν τεσσάρων ἀστέρων ἀντὶ τροχῶν παραλαμβανομένων, τῶν δὲ τριῶν τῆς οὐρᾶς ἀντὶ ῥυμοῦ.

Ἅμαξαι λέγονται παρὰ τὸ ὁμοῦ ἐν τῷ ἄξονι εἰλεῖσθαι. S

ἄλλως. Ἅμαξαι: διὰ τὸ ἅμα ἐν τῷ ἄξονι MQDΔVUA καὶ τῇ τούτου ἀρχῇ εἶναι. ἢ ὅπερ ἐπὶ τῆς μιᾶς λέγεται, τοῦτο καὶ ἐπὶ τῶν δύο εἴληφε. κυρίως γὰρ ἡ Ἑλίκη ἅμαξα λέγεται· οἱ γὰρ ἑπτὰ αὐτῆς ἀστέρες ἁμάξης τύπον ἔχουσιν· οἱ μὲν ἐπὶ τοῦ πλινθίου τέσσαρες (πλινθίον δὲ λέγεται παρὰ τοῖς γεωμέτραις πᾶν τετράγωνον), οἱ δὲ τρεῖς ἐπὶ μήκους τὸν ῥυμὸν πληροῦσι. δείξομεν δὲ καὶ παρ' Ὁμήρῳ τὸ ἐπὶ τῶν δύο λεγόμενον (θ 229)· „δουρὶ δ' ἀκοντίζω ὅσον οὐκ ἄλλος τις ὀιστῷ". τὸ γὰρ ἀκοντίζειν ἴδιον μόνον ἐπὶ δόρατος, ὃ δὲ καὶ ἐπὶ τοῦ οἰστοῦ αὐτὸ ἔθηκεν.

---

1 ἅμαξαι MA: ἅμαξα DΔ ἅμα V (ἢ ἅμα A^sl) **2** ἔσχον MSV: ἔσχεν D ἔσχηκεν Δ ἔχουσιν A **3** ἀστέρων MQDΔVA: ἄστρων S | ἀντὶ τροχῶν MDΔVA: ἀντίτροχον Q *ut vid.* S.

5 S (*32^r,7–8*) *sequitur Draconis fabula* (*32^r,8–13, infra p. 91, ll. 3–14*).

6–16 MQDΔVUA (*in* U *omnia fere evan.*) ἄλλως M^mg DΔ: *om.* QVA (*spatium vacuum in* VA) | ἅμαξαι *om.* Q **6–7** διὰ τὸ ... εἶναι MDΔVA: ἢ διὰ τὸ ἐν ἀρχῇ τοῦ ἄξονος εἶναι Q **7** λέγεται MDΔA: λέγουσι V *om.* Q **8** τοῦτο MDΔVA: οὕτω Q | καὶ *om.* M | εἴληφε MDΔVA: λέγεται Q **9–10** οἱ γὰρ ... ἔχουσιν MDΔVA: τὸ ἁμάξης τύπον ἔχειν Q **9** ἑπτὰ αὐτῆς *om.* V αὐτῆς *om.* A | τόπον A **10** οἱ μὲν ... τέσσαρες MDΔVA: τοὺς ἐπὶ τοῦ πλινθίου δ' ἀστέρας Q | πλινθίον MQDΔA: πλίνθος V **11** δὲ *om.* D | περὶ A | πᾶν τετράγωνον MVA: τὸ τετρ– DΔ τῶ τετράγωνον Q *ut vid.* | *post* τετράγωνον *add.* τοὺς τροχοὺς *Maass fortasse recte* **12** ἐπὶ μήκους M: ἐπιμήκως DΔ ἐπὶ μῆκος VA ἐπιμήκεις Q *ut vid.* | *post* πληροῦσιν *reliqua om.* Q | δείξομεν MDΔ: –ξωμεν A –ξομαι V **13** τῶν δύο MDΔA: τοῦ ω̄ V **14** ἀκοντίζω M *Hom.*: ἀκόντιζεν DΔVA **15** ἐπὶ δόρατος MA: ἐπὶ δ– ὃν DΔV | ὃ δὲ M: ὁ δὲ DΔVA | καὶ M: β̄ A *om.* DΔV **16** ἔθηκεν MA: ἔλαβεν DΔV *fortasse recte* | *transit* U *ad p. 87, l. 3* (*sch. 37*).

S ἅμα τροχός ἐστιν ἡ δύο τροχῶν εἰς τὸ αὐτὸ συνέμπτωσις. ἅ μ α τ ρ ο χ ό ω σ ι ν, εἰς τὸ αὐτὸ κινοῦνται.

Q Ἄρατος δέ φησι τὴν Κυνόσουραν καὶ Ἑλίκην ἐν Κρήτῃ οὔσας γενέσθαι τρόφους τοῦ Διός, καὶ διὰ τοῦτο τῆς οὐρανοῦ μνήμης ἀξιωθῆναι.

MQDΔVA 28. — α ἳ δ ή τ ο ι κ ε φ α λ ά ς: ἐπί τὰς ἀλλήλων ἰξύας τὰς κεφαλὰς ἔχουσι τετραμμένας, οὐκ ἐπὶ τὰς αὑτῶν, ὡς Ἀρίσταρχος ὁ γραμματικὸς ᾠήθη, τὰς κεφαλὰς αὐτῶν πρὸς τὴν ἰδίαν ἰξὺν ἀποστρέφεσθαι, παρὰ τὸ φαινόμενον. ὁρῶσι γὰρ εἰς τοὔμπροσθεν, καὶ οὐκ εἰσὶν ἀλλήλαις ἀνατετραμμέναι. ἡ δὲ ἰξὺς λέγεται καὶ ἄκνηστις, ἣν οὐκ ἔστι ξύσαι οὐδὲ ῥᾴδιον κνῆσαι.

Q ⟨α ἳ δ ή τ ο ι⟩: ἀπορεῖται δὲ ἐνταῦθα· τῆς γὰρ μικρᾶς Ἄρκτου κεφαλὴν μὴ ἐχούσης, ἀλλὰ τῶν πάντων ἀστέρων ἑπτὰ ὑπαρχόντων, πῶς Ἄρατος λέγει α ἳ δ ή τ ο ι κ ε φ α λ ὰ ς μ ὲ ν ἐ π' ἰ ξ ύ α ς α ἰ ὲ ν ἔ χ ο υ σ ι; λύεται δὲ ἀπὸ τούτου παρ' ὅσον οἱ παλαιοὶ ἐξ ἑπτὰ ἀστέρων κατηστέριζον τὴν μικρὰν Ἄρκτον, καὶ κεφαλὴν μὲν ὑφίσταντο τὸν βορειότερον τῶν ἀστέ-

---

1–3 S (*31ʳ mg. inf.*) **2** τροχόωσιν S: τροχόωσαι S *in textu.*

4–6 Q *Ursae minoris fabulae fragmentum* (*Catast. 2*) *cf. supra p. 74, l. 1 et infra sch. 39* (S) **6** οὐρανοῦ Q: *scribendum* ἐν οὐρανῷ.

7–13 MQDΔVA *lemma* M (δ' ἤτοι) ΔA: αἳ δή τοι DV *om.* Q **7–8** ἀλλήλων MQDΔA: ἀνχίκλων V γρ. ἀγχίκλων A[sl] **9** αὑτῶν *edd.*: αὐτῶν MQDΔVA | ὡς *om.* V **10** ἀποστρέφεσθαι MQ: ἐπιστρέφ– DΔA ἐπιφέρεσθαι V **11** παρὰ MDΔVA: περὶ Q | τὸ ἔμπρ– VA **12** ἀλλήλαις MQDΔ γρ. A: ἀνχίκλαις V ἀγχίκλαις A | ἀνατετραμμέναι MDΔVA: ἐπιτετρ– Q ἀντεστραμμέναι *Maass fortasse delendum et scribendum* καὶ οὐκ εἰς ἀλλήλας **13** καὶ MA: ἡ Q *ut vid. om.* DΔV | *post* ἄκνηστις *desinit schol. in* Q | ἔστι MQDΔV: ἔξεστι A | ξύσαι MDVA: κνίσαι Δ | κνῆσαι MVA: κινῆσαι DΔ | ῥᾴδιον *Maass*: ῥᾶιον *codd.* (*ante* ξύσαι V).

14–p. 79,5 Q *lemma addidi* **17** ἰξύαις Q *ut vid.*

ρων τῶν ἐν τῇ ἡγουμένῃ πλευρᾷ τοῦ τετραπλεύρου, ἐμπροσθίους δὲ πόδας τὸν νοτιώτερον τοῦ τετραπλεύρου, ὀσφὺν δὲ τὸν βορειότερον τῶν ἐν τῇ ἑπομένῃ πλευρᾷ τοῦ τετραπλεύρου, ὀπισθίους δὲ πόδας τὸν νοτιώτερον, οὐρὰν δὲ τοὺς ὑπολειπομένους ἀστέρας.

αἳ δή τοι: περὶ τῆς θέσεως καὶ †διαμαυρώσεως† ταῦτα· διώκειν γὰρ ἑαυτὰς ἐοίκασι περὶ τὸν πόλον, ὥστε τὴν τῆς ἑτέρας κεφαλὴν κατὰ τὴν ⟨τῆς ἑτέρας⟩ οὐρὰν τετάχθαι. S

29. — ⟨αἰεὶ δὲ κατωμάδιαι⟩: φιλοτέχνως· οὐ γὰρ πάντα τὰ ἄστρα ἐν τῇ περιφορᾷ τὴν αὐτὴν τάξιν τετήρηκεν, ἀλλὰ τὰ μὲν ὀρθὰ ἀνατείλαντα πλάγια δύνει, τὰ δὲ τὸ ἔμπαλιν. Q

⟨κατωμάδιαι φορέονται⟩: ἐπὶ τὰς κεφαλὰς [καὶ] ἀεὶ δύνουσι καὶ οὐδέποτε ἐπὶ τὰς οὐράς. S

ἄλλως: ἡ μὲν ἀναβαίνει, ἡ δὲ κάτω φέρεται. κατωμάδιαι, τῶν γὰρ προτομῶν αὐτῶν τὰ ἐμπρόσθια κατὰ τὴν δύσιν πολοῦνται. S

οὐχ ὥσπερ τὸν Κένταυρον· φησὶν ὅτι κατ' οὐρὰν δύνει. S

⟨φορέονται⟩: ἐπεὶ ἡ μὲν δύνει, ἡ δὲ ἀναβαίνει. ὅταν γὰρ ἡ μία ἐν τῷ ἀνατολικῷ ἡμισφαιρίῳ, ἡ ἑτέρα γίνεται πρὸς τὴν δύσιν. S

---

2 δὲ πόδας: δὲ δέποδας Q *ut vid.*

6–9 S (*31ʳ, 16–19*) *simul cum Ursae maioris fabula in exemplar insertum* (*vide praef. p. XIX*) **6** διαμαυρώσεως *corruptum* **7** ἑαυτὰς *scripsi*: αὐτὸν S **8** τῆς ἑτέρας *addidi.*

10–13 Q *lemma addidi.*

14–20 S (*31ʳ, 19–23*) *vide supra ad l. 6* | *lemma addidi* **15** καὶ *seclusi* | *de sensu cf. Germ. Aratea 29–31* caput alterius super horrida terga / alterius lucet; pronas rapit orbis in ipsos / declinis umeros **17** κατωμάδιαι *scripsi*: κατωμαδιὰς S | προτομῶν *scripsi*: προτόμων S **18** πολοῦνται *scripsi*: ποιοῦνται S **19** *notula mutila*: *cf. vv. 625–626.*

21–23 S (*31ʳ mg. sup.*) *lemma addidi* **21** ἀναβαίνει S^{sl}: ἀναδύνει S.

M 30. — ἔμπαλιν: χωρὶς εἰς τοὐπίσω· ὃ καὶ ἐπιφέρει λέγων εἰς ὤμους τετραμμέναι.

MQDΔKVAS 30-33. — εἰ ἐτεὸν δή: ὁ Ἄρατος τὸ ποίημα τὸ ἑαυτοῦ † τοῖς ποιητικοῖς † μᾶλλον εἶναι θελήσας, ἀλλ' οὐχὶ μόνον † φυσικώτατον †, ὅπερ ἐστὶν ἴδιον ποιητοῦ, τοῦτο μεταχειρίζεται, λέγω δὴ τὸν μῦθον, κατὰ καιρὸν μέντοι, οὐκ ἀπιθάνως, καὶ ὡς μὲν ποιητὴς παρεισάγει, ὡς δὲ περὶ φυσικῶν διαλεγόμενος οὐ πάνυ τῷ μύθῳ συντρέχειν δοκεῖ. ἐπήγαγε γοῦν τὸ εἰ ἐτεὸν δή, ὅπερ ἐστὶν ἀμφιβάλλοντος. ὁ δὲ μῦθος βούλεται

1–2 M *in mg. sub signo non alphabetico quod idem in textu supra vocem* ἔμπαλιν *invenitur* | *lemma add. Maass.*

3–p. 81,4 MQDΔKVAS *priorem huius scholii partem* (ὁ Ἄρατος ... μεταχειρίζεται) *praebet* S *31ᵛ,4–6 sub lemmate* Δίκτω ἐν εὐώδει; *posteriorem vero* (ἐπήγαγε ... Κορύβαντες) *priori anteponit 31ᵛ,1–4 sub lemmate* ἄλλως; *nonnulla autem* (φυσ– διαλεγομένους ... συντρέχει) *corrupta et a ceteris separata 30ᵛ,31–32 inveniuntur; vide adnotationes criticas ad sch. 17 p. 61, l. 4* | *lemma* DΔKV: εἰ ἐτεὸν δὴ Κρήτηθεν ἐκεῖναι (*sic*) γε M εἰ ἐτεὸν Q εἰ ἐτεὸν δὴ Κρήτηθεν A *om.* S **4** ἑαυτοῦ MKA: αὑτοῦ Q αὐτοῖς DΔV *om.* S | τοῖς ποιητικοῖς MQDΔKVA: ποιητικοῦ S ποιητοῦ S^{sl} ἐν τοῖς ποιητικοῖς *Maass crucibus inclusi* | μᾶλλον εἶναι θελήσας MQ KS: μᾶλλον θελήσας ἐγγύς εἶναι DΔV μᾶλλον θελήσας εἶναι A **5** μόνον *om.* S | φυσικώτατον MQDΔVAS (-κότ-) :-τέροις K *crucibus inclusi* | ἐστὶν S: *om.* MQDΔKVA *fortasse recte* **6** ποιητοῦ τοῦτο μεταχειρίζεται MQDΔKS: τοῦτο τῆς τοῦ ποιητοῦ μεταχειρίσεως VA **6–8** λέγω ... ὡς δὲ περὶ *om.* S **6** λέγω *Maass ex Ald.* (*id est ex apographo codicis* Est *ubi legitur* ὅπερ ἴδιόν ἐστι ποιητοῦ, τὸν μῦθον λέγω): λέγων MQDΔKVA **7** μέντοι MQK: *om.* DΔVA **8** ὡς δὲ ... διαλεγόμενος MQDΔKVA: φύσει διαλεγομένους S | περὶ φυσικῶν MQDΔVA: φυσικῶς K **8–9** οὐ πάνυ ... δοκεῖ MQDΔKVA: οὐ πάνυ αὐτῷ τῷ μύθῳ συντρέχει S **9** γοῦν MQDΔK: οὖν VA *om.* S **10** δὴ *om.* S | ἀμφιβάλλοντος Q: τοῦ ἀμφιβάλλοντος MK ἀμφιβαλόντος S δισταγμοῦ DΔV δισταγμοῦ ἤτοι τοῦ ἀμφιβάλλοντος A **10–p. 81,1** βούλεται ... Κρήτῃ *om.* Q *alia inserta fabula quam inferius invenies*

ταύτας ἀνατετραφηκέναι τὸν Δία ἐν Κρήτῃ, ὅτε τὴν Πυρρίχην (ἥ ἐστιν ἐνόπλιος ὄρχησις) [ἦν] ὀρχούμενοι οἱ Κορύβαντες ἐπὶ ὅλον ἐνιαυτὸν τὸν Δία ἔθρεψαν λαθόντες τὸν Κρόνον.

παρὰ πᾶσιν ἦσται ὅτι χρησμὸν ἔχων ὁ Κρόνος παρὰ τῆς Γῆς ἐφυλάττετο τὰς ἐκ τῶν ἀρρένων ἐπιβουλάς, διὸ καὶ κατέπινε τοὺς γεννωμένους. ἡ δὲ Ῥέα, ὅτε τὸν Δία ἔτεκεν, λίθον σπαργανώσασα προσήνεγκεν, ὃν καταπιὼν ὕστερον ἐξέβαλε. καί φασιν ὅτι εἰς Δελφοὺς κατηνέχθη, μέχρι τοῦ νῦν † διὸς ἦρον † καλούμενος, ὑπὸ δέ τινων καὶ βαίτυλος. τὸ δὲ βρέφος ἐκθεῖναι τὴν Ῥέαν παρὰ τὸ Δικταῖον ὄρος. Q

Δ ί κ τ ῳ: Δίκτον ἀκρωτήριον τῆς Κρήτης πλησίον MQDΔKVAS

1 ταύτας MDΔVA: *om.* KS | ἀνατετραφηκέναι MA: ἀνατετραφέναι (*sic*) K ἀνατραφῆναι S τιθηνῆσαι DΔV | τὸν Δία *ante* ἀνατετρ– K | τῇ Κρήτῃ K | ὅτι K **2** ἥ MQDΔKVA: ὅ S | ἐνόπλιος MQ: ἔνοπλος DΔKVA ἔνοπλον S | ὄρχησις MQDΔKVA: –σιν S | ἦν MQ: γενέσθαι λόγος ἦν DΔ γενέσθαι λέγεται ἦν VA ἦσαν S *om.* K *seclusi* **3–4** ἐπὶ ... Κρόνον *om.* S **3** ἔθρεψαν MA: ἐξεθρέψαντο DΔV ἀνέθρεψαν K ἔτρεφον Q **4** λαθόντες τὸν Κρόνον *om.* Q *qui addit* γενέσθαι δὲ τροφοὺς δύο, Ἑλίκην καὶ Κυνοσοῦραν (*sic*) *cf. Catast.*

5–12 Q *haec praebet* Q *antecedenti scholio immixta inter verba* ὁ δὲ μῦθος (*supra p. 80, l. 10*) *et* ὅτε (*supra l. 1*) **6–7** ἐπιβουλὰς *scripsi*: βουλὰς Q **7** κατέπιννε Q | Ῥέα *correxi*: ἥρα Q **8** λίθον *correxi*: λίθω Q **10** διὸς ἦρ' Q: *quid haec sibi velint, non video; an* δίσκος ? | *vide Hes. Theog. 453–506; de Iovis lapide apud Delphos, Paus. 10, 24, 6; cf. Hsch. s. v.* βαίτυλος: „οὕτως ἐκαλεῖτο ὁ δοθεὶς λίθος τῷ Κρόνῳ ἀντὶ Διός".

13– p. 86,10 MQDΔKVAS (*31ᵛ, 6–8*) *in* Q *post adnotationem ad* σχεδὸν Ἰδαίοιο *pertinentem* (*infra p. 83, l. 15*), *transposuit* Δ *cum sequenti scholio post* τὸν Δία τεχθῆναι (*infra p. 84, l. 12*) S *corrupt.* (δίκτον δὲ ἀκρωτήριον ἴδης κρήτης. καὶ ζέφυρος πνέων πλησίον τοῦ κρητικοῦ ὄρους τῆς ἴδης) | *lemma* MDVA: δίκτω ἐν εὐώδει Δ *om.* QKS | Δίκτον QDΔVA: *om.* MK

τῆς Ἴδης τοῦ Κρητικοῦ ὄρους, ἔνθα ἐστὶν Ἀλσείου Διὸς τέμενος, παρὰ τὸ παρακείμενον ἄλσος.

S 32. — ὅ μ ί ν π ο τ ε: ὅμοιόν ἐστι τῷ „ὅ μοι γέρας ἔρχεται ἄλλῃ" (Α 120). ἀντὶ τοῦ ὅτι. αὐτὸς γὰρ ὁ ὅτι σύνδεσμος ἀπεκόπη, καὶ ἐγένετο ὅ. οὐ γάρ ἐστιν ἄρθρον ἀντὶ συνδέσμου· οὐδέποτε γὰρ τοῦτο εὑρέθη.

S 34. — σ χ ε δ ὸ ν Ἰ δ α ί ο ι ο: εἰ ἡ Δίκτη πλέον ἢ χιλίους σταδίους ἀπέχει τῆς Ἴδης, ἁμαρτάνεται τῷ Ἀράτῳ γράφοντι ταῦτα [τὸ ὄ ρ ε ο ς σ χ ε δ ὸ ν Ἰ δ α ί ο ι ο].

MDΔKVAS ὅθεν ἔνιοι μὲν γράφουσι σ χ ε δ ὸ ν Α ἰ γ ε ί ο ι ο, παρ' Ἡσιόδου λαβόντες, φάσκοντος τραφῆναι τὸν Δία Α ἰ γ α ί ῳ ἐ ν ὄ ρ ε ι π ε π υ κ α σ μ έ ν ῳ ὑ λ ή ε ν τ ι (Theog. 484). εἰ δὲ μηδέν ἐστιν ὄρος ἐν Κρήτῃ Αἰγαῖον, ἄμεινον διαστέλλειν τῇ ἀναγνώσει.

MQDΔKVAS ὅ μ ι ν (ὅτι αὐτόν) κ ο υ ρ ί ζ ο ν τ α Δ ί κ τ ῳ

---

1 ἔνθα ἐστὶν *om.* K | Ἀλσείου *Maass*: ἀλσίου MQKΔ ἀλσίου D ἀλυσίου VA Casanatensis (C) **2** ἄλσος MQDΔKVA: ἢ ἄλυσος A[sl] ἄλυσος C.

3–6 S (*31*[v]*,8–11*) *lemma* S **5** ὅ *scripsi*: ō S.

7–10 S (*31*[v]*,11–14*) *lemma* MDΔ *infra ad l. 11*: ἄντρω ἐγκατέθητο (*sic*) S **7** *inter* ἡ *et* Δίκτη *add.* ἤδπι (?) S *postea del.* **9–10** τὸ ... Ἰδαίοιο *seclusi.*

11–15 MDΔKVAS (*31*[v]*,14–17*) *haec cum scholio ad* Δίκτῳ (*supra p. 81, l. 13*) *transposuit* Δ | *lemma* σχεδὸν Ἰδαίοιο MDΔ (*vide supra*) σχεδὸν VA *om.* K **11** ὅθεν ἔνιοι μὲν S: τινὲς MDΔKVA **11** γράφουσι MDKVAS: τὸ Δ | Αἰγείοιο MDΔ: Αἰγεῖο V ἐκταίοιο S[pc] ἐκτείοιο S[ac] *ut vid.* Αἰγαίοιο KA (*sic Maass*) *fortasse recte* **12** Ἡσιόδου MDΔKAS: –δω V | λαβόντες MDΔVA: λαμβάνοντες KS | φάσκοντος K: –τες MDΔVA *om.* S | *post* τὸν Δία *add.* ἐν ἄντρω (αὐτῶ DΔ) παρὰ τὸ λέγειν Ἡσίοδον DΔV **13** Αἰγαίω ἐν MDΔS (ἐν *om.*): ἐν Αἰγείω K ἐν Αἰγαίω A δ' ἰδαίω ἐν V | πεπυκασμένῳ *Hes.* MDΔKA: –νου S *ut vid.* πυκασμένω V | ὑλόεντι K **14–15** εἰ δὲ ... Αἰγαῖον *om.* S **14** μηδὲν MK: μὴ DΔVA *ut vid.* **15** ἄμεινον δὲ S.

16–p. 83,4 MQDΔKVAS (*31*[v]*,17–19*) ὅ μιν MDKVA: ὅ μιν τότε ΔS *om.* Q | ὅτι αὐτὸν *in textu* (*glossa*) MQ: ὅτε αὐτὸν MQDΔKVA *om.* S

ἐ ν ε ὐ ώ δ ε ι, καὶ ἀφ' ἑτέρας ἀρχῆς ὄ ρ ε ο ς σ χ ε- δ ὸ ν Ἰ δ α ί ο ι ο ἄ ν τ ρ ῳ ἐ γ κ α τ έ θ ε ν τ ο, καὶ νοεῖν ὅτι ἐγεννήθη μὲν ἐν τῇ Δίκτῃ, μετεκομίσθη δὲ ἐπὶ τὸ ἄντρον τῆς Ἴδης.

Ζηνόδοτος δὲ ὁ Μαλλώτης δίκτον ἤκουσε τὸ κα- MQDΔKVA
λούμενον δίκταμνον, καὶ διὰ τοῦτο καὶ εὐῶδες τοῦτο εἰρῆσθαι. δοκεῖ δὲ πρὸς εὐτοκίαν συμβάλλεσθαι αὐτό, ᾧ καὶ τὴν Εἰλείθυιαν στέφουσι· καί που ἐπ' αὐτῆς Εὐφορίων (fr. 111 Powell) „στεψαμένη θαλεροῖσι συνήντετο δικτάμνοισι".

καὶ ταῖς αἰξὶ δὲ προσφιλὴς ἡ βοτάνη· βέλει γὰρ τρωθεῖσαι καὶ ὀρύττουσαι αὐτὴν ἀποβάλλονται τὸ βέλος.

Κούρητες καὶ Κορύβαντες καὶ Ἰδαῖοι Δάκτυλοι οἱ MQDΔKVAS
αὐτοί εἰσι, περὶ ὧν καὶ Ἀπολλώνιος (I, 1129-1131)·

---

1 εὐώδει MDΔKVAS: εὐ [*vacuum*] Q | καὶ ... ἀρχῆς *om.* S | καὶ MQK: εἶτα DΔVA | ἐφ' K **2** ἄντρῳ MDΔKVA: τρώων Q ἀντὶ τοῦ S | ἐγκατέθεντο MDΔKVA: –θητο S ἐκαθέζετο Q **3** νοεῖν MS: νότ Q νοητέον DΔV νοεῖν δεῖ K δὴ νοητέον A | τῇ *om.* K | Δίκτηι MQDΔKS: δίκτω VAC | μετεκομίσθη MDΔKV: κατεκ– Q | δὲ *om.* S **4** ἐπὶ MQDΔKVA: εἰς S | τῆς Ἴδης KACS: τὸ τῆς Ἴδης MQDΔV.

5–13 MQDΔKVA **5** Μαλλώτης MDΔK: μαλλότης Q μακεδὼν VA **6** δίκταμνον MQA^{sl}: δίκταμον DΔKVA | καὶ διὰ τοῦτο καὶ DΔVA: καὶ διὰ τοῦτο Q διὰ τοῦτο καὶ MK **7** εὐτοκίαν MDΔKVA: εὐτιμίαν Q *ut vid.* | αὐτὸ *codd.* A^{sl}: αὐτῷ A **8** ὧι M: τούτῳ (*post* Εἰλ–) DΔVA *om.* QK | στέφουσι *codd.*: στρέφειν K | *post* στέφουσι *add.* καὶ ἡ Ῥέα τούτου ἐπιλαβομένη εὐτόκησεν καὶ εὐώδης ἐγένετο Q *vide infra* | *post* που *add.* καὶ Q | ἐπ' αὐτῷ K **9** Εὐφ– MQK(ἐφ–): Εὐφ– φησὶ DΔVA | στεψάμενος K | θαλεροῖσι *om.* K **10** συνήντετο *codd.*: συνῆν τότε K | δικτάμνοισι MQDΔA: –μοισι K –μένοισι V **11** δὲ *om.* MK | βοτάνη MQ: βότ D βότειρα Δ βώτης K βάτος VA **12** αὐτὴν DΔVA: αὗται MQK | ἀποβάλλονται MQ: –λουσι DΔKVA.

14–p. 84,2 MQDΔKVAS (*31^{v}, 20–22*) *lemma* δικταῖοι κούρητες K **14** κουρῆτες S | κορυβάντιοι A | Ἰδαῖοι *om.* S **1** *post* εἰσι *desinit sch. in* DΔV **15** καὶ *om.* S | Ἀπολλώνιος S: Ἀπόλλων MQKA *qui hoc verbo scholium terminant*

„Δάκτυλοι Ἰδαῖοι Κρηταιέες, οὓς ποτε νύμφη ...... δραξαμένη“.

MDΔKVUA Ἰδαίοιο: ζητοῦσι δέ τινες τίνος χάριν τὴν Δίκτην φησὶν εἶναι πλησίον τοῦ Ἰδαίου ὄρους· ἔστι γὰρ πολὺ τὸ διάστημα. ἀλλ' ἐὰν στίξωμεν εἰς τὸ εὐώδει, οὐδὲν ζητηθήσεται. καὶ τὸ ὄρεος σχεδὸν Ἰδαίοιο συναπτέον εἰς τὸ ἄντρῳ ἐγκατέθεντο.

MDΔKVUA ἔδει δὲ εἰπεῖν Δίκτῃ, ἀλλ' οἱ ποιηταὶ εἰώθασι τὰ γένη ἐναλλάσσειν· ὡς χώρα χῶρος, ὠνὴ ὦνος, οὕτως οὖν Δίκτη Δίκτος γίνεται, παρὰ τὸ ἐκεῖσε τὸν Δία τεχθῆναι [κατὰ τροπὴν οὖν τοῦ τ εἰς δ].

---

1 Ἰδαῖοι *Ap. Rh.*: δέ οἱ S | Κρηταιέες *Apollonii edd.*: κρηταέες *Apollonii codd.* Κρῆτα S | οὓς *Ap. Rh.*: ὃν S | *post* νύμφη *sic Ap. Rh.* (*1130*): „Ἀγχιάλη Δικταῖον ἀνὰ σπέος, ἀμφοτέρῃσιν / δραξαμένη γαίης Οἰαξίδος, ἐβλάστησε“.

3–8 MDΔKVU (*evan.*) **A** *lemma codd.* **3** ζητοῦσι δὲ *codd.*: ζηνόδοτος K | τινες *om.* MK **3–4** τὴν Δίκτην MD: τὴν Δίκτον Δ τὸ Δίκτον VA φησὶ τὴν δίκτον K **4** φησὶν εἶναι DΔ: εἶναι φησὶ VA φασὶν εἶναι M εἶναι K | πλησίον τοῦ Ἰδαίου ὄρους MK: τοῦ Ἰδ– ὄρ– πλ– DΔVA | γὰρ MΔKVA: δὲ D **5** πολὺ *codd.*: κατὰ πολὺ A | ἀλλ' ἐὰν *codd.*: ἐὰν δὲ K **6** τὸ ὄρεος DΔ: τοῦ ὄρεος V τὸ ὄρος MKA **7** ἄντρῳ ἐγκατέθεντο *scripsi*: ἄντρον ἐν ὧι κατέθεντο MDΔKVUA.

9–12 MDΔKVUA *cf. Etym. Gen. s. v.* Δίκτη (*Etym. Magnum 276,11–20*): ὄρος τῆς Κρήτης, καὶ ἄκρα κειμένη κατὰ τὸ Λιβυκὸν πέλαγος. καλεῖται δὲ καὶ οὐδετέρως Δίκτον. Ἄρατος· „ὅ μιν ποτε κουρίζοντα Δίκτῳ ἐν εὐώδει ὄρεος σχεδὸν Ἰδαίοιο“. εἴρηται παρὰ τὸ τέκω, τίκτα τις οὖσα, ἀπὸ τοῦ ἐκεῖ τεχθῆναι τὸν Δία. Ἀγαθοκλῆς δὲ αὐτὴν θηλυκῶς ὀνομάζει, τὴν δὲ εἶναι τὸ Δίκταιον (*sic*) ὄρος. οἱ δὲ νῆσόν φασιν εἶναι Δίκτην καὶ ὀνομάζεσθαι ἀπὸ τῶν ἁλιευτικῶν δικτύων· ἐνταῦθα δὲ καὶ Διὸς ἄγαλμα ἵσταται. λέγεται δὲ καὶ Δίκταιον (*sic*). Ἀπολλώνιος (*I 509*). „Δίκταιον ναίεσκεν ὑπὸ σπέος“. **10** ἐναλλάσσειν MKU *ut vid.* A: ἀλλάσσειν DΔ ἀλάσσειν V **11** Δίκτη Δίκτος MUA: Δίκτος ἢ Δίκτη DΔV Δίκτη ἢ Δίκτος K | γίνεται M: *om.* DΔKVUA **11–12** παρὰ ... τεχθῆναι MKU: λέγεται δὲ καὶ (*om.* DΔ) οὕτω (οὕτως VA) παρὰ τὸ τὸν Δία ἐκεῖσε τεχθῆναι DΔVA **12** κατὰ ... δ *transposui et seclusi*: *post* Δίκτος (*l. 11*) MUA *non in* DΔKV | τ *scripsi* (*glossa est haec ad* παρὰ ... τεχθῆναι *appicta, quasi* τικτ– *in* δικτ– *mutatum esset*): τ̄ MA U *evan.*

εὐώδει δὲ διὰ τὴν ἐκεῖσε λεγομένην φύεσθαι βοτάνην τὴν δίκταμνον καλουμένην. MKUA

30-33. — εἰ ἐτεὸν δή: ἀπιστεῖ τῷ περὶ τῶν Ἄρκτων μύθῳ, παρεκβάσει δὲ ἐνταῦθα χρῆται διήγημα παρεκβαλὼν διὰ τὸ κατ' ἀνάπαυσιν τοῦ ἀκροατοῦ. S

ὅ μιν: ἀντὶ τοῦ αὐτὸν τὸν Δία.

Δίκτῳ: ἀντὶ τοῦ Δίκτῃ· ἔθος γὰρ τοῖς ποιηταῖς ἐναλλάσσειν τὰ γένη, ὡς Ὅμηρος· „χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ" (π 203).

ὄρεος σχεδὸν Ἰδαίοιο: περιφραστικῶς τὴν Ἴδην.

περὶ Δίκτου: Δίκτη ἦν, καὶ εἶπεν αὐτὸ Δίκτος· ἔθος γὰρ παρεναλλάσσειν τὰ γένη, ὡς παρ' Ὁμήρῳ χολὴ χόλος. οὕτως δὲ ὀνομάζεται διὰ τὸ δίκταμον γίνεσθαι ἐν ἐκείνῳ τῷ ὄρει. προσφιλὴς δὲ αὕτη ἡ βοτάνη ταῖς αἰξίν· βέλει γὰρ τρωθεῖσαι καὶ ὀρύττουσαι αὐτὴν ἀποβάλλονται τὸ βέλος. Par.

καὶ ἡ Ῥέα τούτου ἐπιλαβομένη εὐτόκησεν καὶ εὐώδης ἐγένετο. Q

οὐ τὸ Δίκτον ὄρος σχεδὸν Ἰδαίοιό φησιν· οὐ γάρ ἐστιν ἐγγύς, ἀλλὰ χίλιοί που στάδιοι. μεταξὺ δὲ ⟨δεῖ⟩ διαστεῖλαι, καὶ τὸ μὲν πρῶτον συνάπτειν ὅ μίν ποτε κουρίζοντα Δίκτῳ ἐν εὐώδει, καὶ ἑξῆς ὄρεος σχεδὸν Ἰδαίοιο ἄντρῳ ἐγκατέθεντο. τὸ δὲ ὅλον· αὐτόν ποτε Q

1–2 M (*cum antecedenti scholio cohaerens*) **KUA** λεγομένην M: *om.* KA U *evan.* | φύεσθαι M: φυομένην KA U *evan.* **2** δίκτ– καλ– M: καλ– δίκτ– KU A.

3–11 S (*31*ʳ*,24–31*ᵛ*,1*) *haec alia scholiorum series in codicis* S *exemplar simul cum Catasterismorum fabulis inserta est; vide supra p. 79 ad ll. 6–9* **5** τοῦ ἀκροατοῦ S^sl: τῷ ἀκροατῇ S **8** ἄρα σ' *Od.*: ἀρὰς S.

12–17 Par. suppl. gr. 607a (*84*ʳ*,1–9*) **13** παρεναλάσσειν Par **14** δίκταμον Par: –μνον *Maass.*

18–19 Q *Vide supra ad p. 83, l. 8.*

20–p. 86,10 Q **22** δεῖ *addidi* **25** ἄντρῳ: ἄντρον Q | *post* ὅλον *distinxi*

τεχθέντα καὶ κουρίζοντα ἐν τῇ Δίκτῃ (τουτέστι κλαυθμυριζόμενον καὶ γινόμενον διὰ τοῦτο κατάφωρον) ἔργον ποιουμένης τῆς ʽΡέας λαθεῖν τὸν Κρόνον, εἰς τὰς πλησίας τοῦ ʼΙδαίου ὄρους κατέθεντο, καὶ εἰς ἐνιαυτὸν ῎Αρκτοι ἔτρεφον. ἐγεννήθη δὲ ὁ Ζεὺς ἐν τῇ Δίκτῃ (τοῦτο δέ ἐστιν ἀκρωτήριον ἀνατεῖνον εἰς τὸ Λιβυκὸν πέλαγος), ἐτράφη δὲ ἐν τῇ ῎Ιδῃ μετενεχθεὶς ὑπὸ τῶν Κουρήτων λάθρα τοῦ Κρόνου εἰς τὸ ἄντρον. — Δ ί κ τ η ὤφειλεν ⟨εἰπεῖν⟩, ἀλλʼ οἱ ποιηταὶ εἰώθασιν ἐναλλάσσειν τὰ γένη, ὡς χώρα χῶρος, ὠνὴ ὦνος.

MDΔVUA 35. — Δ ι κ τ α ῖ ο ι Κ ο ύ ρ η τ ε ς: οἱ Κούρητες ἐκάλουν τὴν μὲν μικρὰν Κυνόσουραν διὰ τὴν τῆς οὐρᾶς ὁμοιότητα, τὴν δὲ ἑτέραν ʽΕλίκην διὰ τὸ ἑλίσσεσθαι καὶ ἑλικώδη πως τὴν οὐρὰν ἔχειν. καὶ διὰ τὸ ἕλκεσθαι ὑπὸ οὐρανοῦ κατʼ ἐξοχὴν ὠνομάσθη πάντων, ὡς ὁ λέων θὴρ κατʼ ἐξοχὴν πάντων.

1–2 κλαυθμυριζόμενον *correxi*: κλαυθμηρ– Q **3** *post* Κρόνον *distinxi* **6** λυβικὸν Q | *cf. Etym. Gen. supra ad p. 84, 9–12 laudatum* **8** δίκτη Q **9** εἰπεῖν *addidi* | εἰώθασιν ἐναλλάσσειν *scripsi*: εἴωθεν ἀλλάσσειν Q.

1–2 MDVUAS (*34ᵛ,23–24*) *hoc scholium sic in* S: τινὲς δὲ Ὠλένου θυγατέρα. ἢ διὰ τὸ εἶναι ἐπὶ τῆς ὠλένης τοῦ Ἡνιόχου | *scholium om.* DΔ, *sed praebet* D *in textus margine* (*f. 6ʳ*) **1** δὲ *om.* D | εἶναι *hic restitui e* S: *post* Ἡνιόχου *Maass om.* MDVU A **2** ὡς DVUA: *om.* M | θυγάτηρ MDA: θυγατέρα VU *ut vid.*

3 S (*34ᵛ,24*) Ὠλένου *correxi*: ὠλένης S *cf. Strab. 8,7,5.*

4–6 MDΔVUAS (*34ᵛ,25*) *praebet tantum* S πάλιν ἀκολούθως ἕως τοῦ ζῳδιακοῦ κατέρχεται | *titulus et in mg. et post lemma in* M, *in mg. ad v. 168 in* S *om.* DΔVUA.

7–8 S (*34ᵛ,25–27*) **8** ὅς *scripsi*: ὅ S.

9–10 MDΔVUAS (*34ᵛ,27–28*) **9** κεραὸν *codd.*: τὸ δὲ κεραὸν S *fortasse recte* | τῶν κερ– θέσιν MDΔVA U *mutil.*: θέσ– τῶν κερ– S *de* τῶν κεράτων *tollendo cogitavi, ut* κατὰ τὴν θέσιν *idem valeret ac* καθ'ὅσον Ταῦρος ὑποτίθεται εἶναι | *cf. infra p. 174, l. 16.*

11–12 MDΔVUA **11** ὀκλάσας DΔ: ὀκλ– MUA ὀκάσας V **12** *post* ὀπισθίους *add.* ὀκλάσας M, *postea del.* | οὐκ MDΔA: μὴ VU.

13–p.163,2 MDΔVUA **13** τοῦτον MDA: τούτων Δ τοῦτο (οὖν *om.*) V U *mutil.* | διαγαγόντα M: διάγοντα V διαπορθμεύσαντα DΔA U *mutil.* **14** πελάγους MVU: τοῦ π– DΔA | κατηστερίσθαι *om.* DΔ **15** φησιν VU | τοῦτο VU **15–p.163,5** *nonnulla videtur omisisse codex* U *mutilus, nam in ea lacuna quae est inter* πασιφ *et* ὑποπεσόντα *vix trium vel quattuor vocum spatium est*

Κρήτης εἰς Μαραθῶνα παραγενόμενον, ὃν Θησεὺς κατηγωνίσατο.

τὸ δὲ μ α ί ε σ θ α ι ἐπισκοπεῖν, ἐπιζητεῖν, κατοπτεύειν. ὁ δὲ νοῦς· παρὰ δὲ τοῖς ποσὶ τοῦ Ἡνιόχου ὑποπεσόντα ζήτει τὸν Ταῦρον. MDΔVUAS

τὸ δὲ ἐ ο ι κ ό τ α, ὅμοια. οἱ γὰρ ἀστέρες αὐτοῦ βούκρανον ἀληθῶς διαγράφουσι, καὶ διὰ τοῦτό εἰσι γνώριμοι, οὐδὲν τῶν γειτνιώντων πρὸς κατανόησιν δεόμενοι, ὡς ὁ Κριὸς ἀμυδρὸς ὢν ὑπ' ἄλλων εὑρίσκεται. MDΔVUA

169. — τ ο ί η ο ἱ: θαυμαστικῶς τὸ τ ο ί η ἀντὶ τοῦ τ ο ι α ύ τ η. σφόδρα γὰρ ἔκλαμπρος ἡ κεφαλὴ ὑποφαίνεται, καὶ ἔκκριτός ἐστι, καὶ οὐκ ἄν τις ἐξ ἄλλου τεκμηρίου ἔτι σκέψαιτο τὴν τοῦ Ταύρου κεφαλήν, ἀλλ' ἐκ τῶν τὸ πρόσωπον ἀποτελούντων ἀστέρων. MDΔVUA

171. — ἀ σ τ έ ρ ε ς ἀ μ φ ο τ έ ρ ω θ ε ν: ἐκ τῶν MDΔVUA

---

1 μαραθιῶ D.

3–5 MDΔVUAS (*34ᵛ, 29–30*) **3–4** τὸ δὲ . . . κατοπτεύειν *codd.* (U *mutil.*): μαίεσθαι ἐπιζητεῖν, καὶ κατοπτεύειν καὶ περισκοπεῖν S | κατοπτεύειν M (*cf.* S): *om.* DΔVA U *mutil.* **4** παρὰ *codd.*: περὶ D | ποσὶ τοῦ DΔVAS: ποσὶν (τοῦ *om.*) M U *mutil.* | ὑποπεσόντα MVUS: ὑποπεπτωκότα DΔA.

6–9 MDΔVUA **6** ὅμοια MDΔA: σήματα VU | αὐτοῦ M DΔ: αὐτὸν VU αὐτῶν A *ut vid.* **7** διαγράφουσι DΔA: γράφουσι MVU **8** οὐδὲν MDΔ: οὐδενὸς VUA | γειτνιώντων M: γειτνιόντων DΔ γειτνιώτων A γειτόνων VU **9** δεόμενοι M[pc] DΔA: δεχόμενοι M[ac] δεόμενος VU *ut vid.*

10–14 MDΔVUA *lemma* M[sl]D: τοῖον οἱ M τοίη οἱ κεφαλὴ Δ τοίη κεφαλὴ διακέκριται V τοίη κεφαλὴ A *lacuna* U **10** τὸ τοίη *codd.*: τὸ οἵη Δ **10–12** ἀντὶ . . . ὑποφαίνεται *codd.*: ἀντὶ τοῦ τοιαύτη κεφαλὴ ἔκλαμπρος ὑποφαίνεται A **11** ἔκλαμπρος MDΔA: ὑπέρλαμπρος VU **14** τῶν *codd.*: ε̄ Δ.

15–p. 164,4 MDΔV (*infra post p. 166, l. 5*) **UA** *in* **S** (*34ᵛ, 31*) *haec tantum leguntur*: ὑιάδας δὲ εἶπε διότι δυόμεναι, αἴτιαι ὑετοῦ γίνονται | *cf.* S *infra ad 172, scholia Homerica infra Append. p. 553, Etym. Magn. 774,1* "παρὰ τὸ ὕειν, ὑετοῦ γὰρ παρασκευαστικαί εἰσι δύνουσαι (*sic etiam Etym. Gen.*) ἢ παρὰ τὸ τῷ υ στοιχείῳ ἀπεικάζεσθαι" | *lemma* MDΔ: ἀστέρες A Ὑάδες VU **15** ἐκ *codd.*: οὐκ ἐκ A | τῶν *om.* M

δύο γραμμῶν τοῦ Υ στοιχείου· αἱ γὰρ Ὑάδες τοῦτο τὸ στοιχεῖον ἀπομιμούμεναι τὸ ταύρειον ἀποτελοῦσι πρόσωπον, ἔνθεν καί τινες Ὑάδας αὐτὰς εἶπον. οἱ δὲ ὅτι δυόμεναι αἴτιαι ὑετοῦ γίνονται.

S οὗτος ἐστὶν ἐν τῇ τάξει τέταρτος. ὁ δ' ἀρκτικὸς κύκλος αὐτοῦ ἐπιλαμβάνει ἀπὸ ποδῶν ἕως στήθους αὐτοῦ τοῦ ἀρκτικοῦ καὶ θερινοῦ τροπικοῦ. ἦν δὲ ὡς Εὐριπίδης φησίν, Αἰθιόπων βασιλεύς. Ἀνδρομέδου δὲ πατήρ. τὴν δὲ ἑαυτοῦ θυγατέρα τῷ κήτεϊ δοκεῖ προθεῖναι. δι' ἣν Περσεὺς ὁ Διὸς γεγονώς. ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς β'. ἐπὶ δὲ τῆς δεξιᾶς χειρός, λαμπρὸν α'. ἐφ' ἑκατέρων τῶν ὤμων, α'. ἐπὶ τοῦ γόνατος βγ' λοξαί. ἐπὶ τῆς δεξιᾶς λαγόνος ζ'. ἐπὶ τοῦ ἀριστεροῦ γόνατος β'.

S οὗτος δὲ ὁ Ταῦρος λέγεται λέγεται ἐν ἄστροις τεθῆναι διὰ τὸ Εὐρώπην ἀγαγεῖν ἀπὸ Φοινίκης εἰς Κρήτην ἀσφαλῶς διὰ τοῦ πελάγους. ὡς Εὐριπίδης. χάριν δὲ τούτου ἐν τοῖς ἐπιφανεστάτοις ἐστὶν ὑπὸ Διὸς τιμηθείς. ἕτεροι δέ φασὶ βοῦν ἐμιμήσαντο ἐν τοῖς ἄστροις. τοῦ δὲ Ταύρου τὸ μὲν μέτωπον αἱ Ὑάδες καλοῦνται. ἔχει ἀστέρας ὁ Ταῦρος ἐπὶ μὲν τῶν κεράτων ἑκατέρων α'. ἐπὶ δὲ τοῦ μετώπου β'. ἐφ' ἑκατέρων τῶν ὀφθαλμῶν, α'. ἐπὶ τοῦ μυκτῆρος α'. οὗτοι Ὑάδες λέγονται. ἐπὶ δὲ τοῦ ἐμπροσθίου γόνατος, α'. ἐπὶ τοῦ τραχήλου β'. ἐπὶ τῆς ῥάχεως γ'. ἐπὶ τῆς χηλῆς α'. ἐπὶ τοῦ δεξιοῦ γόνατος, α'. ἐπὶ τὴν κοιλίαν β'. ἐπὶ τοῦ στήθους α'. τοὺς πάντας ιη'.

---

1 γραμμάτων V **1–2** τοῦτο . . . ἀπομιμούμεναι MDΔA : τούτῳ τῷ στοιχείῳ ἀφομοιούμεναι VU **2** τὸ τὸ ταῦρϊον A **3** ἔνθεν . . . εἶπον *scripsi* : διὸ καί τινες ὑάδας αὐτὰς ἔνθεν εἶπον M διὸ καί τινες ὑάδας αὐτὰς εἶπον VU διὸ καί τινες αὐτὰς ὑάδας εἶπον DΔ διὸ καί τινες αὐτὰς ἐντεῦθεν ἕνεκεν ὑάδας εἶπον A **4** αἴτιαι (αἴτιοι Δ ἔτιοι D) ὑετοῦ MDΔAS : ὑετῶν αἴτιαι VU *ut vid.*

5–14 **S** (*34ᵛ, 32–40*) *Cephei fabula* (*Catast. 15*) *quae non recte in codice nostro Tauri fabulam antecedit, falso lemmate* ταῦρον (*v. 167*) *praefixo.*

15–27 **S** (*34ᵛ, 40–51*) *Tauri fabula* (*Catast. 14*) **15** λέγεται *bis* S.

172. — καὶ λίην κείνων: οὐκ ἀνώνυμοι, φησίν, αἱ Ὑάδες αἱ ἐπὶ τοῦ μετώπου τοῦ Ταύρου. MDΔVUAS

Θαλῆς μὲν οὖν (11 (1) B 2 Diels) δύο αὐτὰς εἶπεν εἶναι, τὴν μὲν βόρειον, τὴν δὲ νότιον, Εὐριπίδης δὲ ἐν τῷ Φαέθοντι (fr. 780 Nauck) τρεῖς, Ἀχαιὸς δὲ (fr. 46 Nauck) τέσσαρας, MDΔVUAS

Μουσαῖος ε′ (2 (67) B 18 Diels), M

Ἱππίας δὲ καὶ Φερεκύδης (F. Gr. Hist. 6 F 9 et 3 F 90) ἑπτά. ἡ δὲ προσωνυμία ὅτι τὸν Διόνυσον ἀνεθρέψαντο, Ὕης δὲ ὁ Διόνυσος. Εὐφορίων (14 Powell)· „Ὕῃ ταυροκέρωτι Διωνύσῳ κοτέσσασα“. οἱ μὲν οὖν δύο λέγοντες ἐπὶ τῶν ὀφθαλμῶν τοῦ Ταύρου φασίν, οἱ δὲ τρεῖς προσλαμβάνουσι καὶ τὸν ἐπὶ τῷ χελυνίῳ. MDΔVUAS

1–2 MDΔVUAS (*34^{v},52–53*) *lemma* AS: καὶ λίην κείνων οὔνομ’ (*sic*) εἴρεται M καὶ λίην DΔ οὐδέ τοι αὔτως ἀνήκουστοι VU **1–2** οὐκ ἀνώνυμοι . . . τοῦ Ταύρου S (*cf. Arat.*): οὐκ ἀνωνύμως φησὶ (*om* V) φέρονται (φαίνονται M) αἱ Ὑάδες ἐπὶ τῶ μετώπω τοῦ Ταύρου *codd.*

3–6 MDΔVUAS (*34^{v},53–54*) **3** αὐτὰς MDΔAS: ταύτας VU **3–4** εἶπεν εἶναι MDΔA: εἶπε VU εἶναι φησί S **4** βόρειον *codd.*: βορειοτάτην S | δὲ *post* Εὐρ– *om.* A **5** ἀχαιοὶ S.

7 M *animadvertendum est et Hyadum numerum hic tantum littera simplici notari, et post auctoris nomen particulam* δέ *deesse; haec duo verba in archetypum simul illata esse censeo cum Pseudo-Hesiodeis versibus quos infra praebent* MDΔA (*p. 166, ll. 6–10*); *„Hesiodus“ enim quinque Hyades numerat, et iidem versus in Tzetzianis scholiis ad Hes. Op. 382 laudantur ad eam fabulam illustrandam quam Musaeus de Hyadibus fertur narravisse* (*vide Append. p. 548*).

8–p. 166,5 MDΔVUAS (*34^{v},54–35^{r},3*) **9** *post* προσωνυμία *add.* ἐστὶν A | ὅτι *codd.*: ὅτε D **9–10** τὸν Δ– ἀνεθρέψαντο *codd.*: ἀναθρέψαντες τὸν Δ– S **10** ὕῆς A | Εὐφορίων MDΔS: καὶ Εὐφ– VU *ut vid.* Εὐφ– δὲ A **11** Ὕῃ *edd.*: ὕη DΔVUA ὕης ὁ S οἵη M | ταυροκέρωτι *codd.*: –κέρητι M | Διωνύσῳ *edd.*: Διον– *codd.* | διονύσω κοτέσσασα (–ίσασα V U *evan.*) *codd.*: διονυσοκοτεύσας S **11–12** οἱ μὲν . . . φασίν *codd.*: οἱ μὲν οὖν δύο λέγονται ὀφθαλμοὶ τοῦ Ταύρου S **12** τῶν ὀφθαλμῶν MDΔUA: τὸν ὀφθαλμὸν V **13** οἱ δὲ . . . χελυνίῳ *om.* S | προσλαμβάνουσι *codd.*: προλ– A | τὸν *om.* V | χελυνίῳ *scripsi* (*cf. Hipp. 3,2,8*): χελύνῳ *Maass post Thiele* χελίωι MDΔVUA

Εὐριπίδης μὲν οὖν Ἐρεχθεῖ (fr. 357 Nauck) τὰς Ἐρεχθέως θυγατέρας Ὑάδας φησὶ γενέσθαι τρεῖς οὔσας, ὁ δὲ Μυρτίλος (F. Gr. Hist. 477 F 15) τὰς Κάδμου θυγατέρας, κληθῆναι δὲ οὕτως δι' ἣν προείπομεν αἰτίαν.

MDΔA Ἡσίοδος γάρ φησι περὶ αὐτῶν (fr. 291 Merkelbach-West)· „νύμφαι Χαρίτεσσιν ὁμοῖαι, / Φαισύλη ἠδὲ Κορωνὶς εὐστέφανός τε Κλέεια, / Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος, / ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων".

M αἱ μέντοι Πλειάδες παρὰ τὸ διχότομον αὐτοῦ εἰσιν, ὡς ἐπὶ τὴν ἰξὺν ἀνακλώμεναι, καὶ σχῆμα κατά τινας οὐρᾶς ἀποτελοῦσιν, ὡς καὶ ὁ Νίκανδρός φησι πλαγιασθείς (Ther. 122-123)· „Πληιάδων φάσιας δεδοκημένος, αἵ θ' ὑπὸ Ταύρου / ὁλκαίην ψαίρουσαι ὀλίζωνες φορέονται". οὐκ ἔστι δὲ οὐρὰ τοῦ Ταύρου. πόθεν γάρ, ὁπότε μηδὲ ὀπίσθια ἔχων δείκνυται;

---

1 μὲν . . . τὰς *om.* S (*qui praebet tantum* δὲ) | οὖν *om.* D | Ἐρεχθεῖ MVU : ἐν Ἐρ– DΔA **2** Ἐρεχθέως *codd.* : τοῦ εὐρυσθέως S | φησὶ γενέσθαι *codd.* : φασὶν εἶναι S **3** ὁ δὲ Μυρτίλος *codd.* : Μυρτ– δὲ S **3–4** τὰς Κάδμου θυγατέρας MΔ : Κάδμου θυγατέρα D τοῦ Κάδμου θυγατέρα VUS τοῦ Κ– θυγατέρας A **4–5** κληθῆναι . . . αἰτίαν *om.* S **4** κληθῆναι δὲ οὕτως (*sic*) MVUA : *om.* DΔ **4–5** προείπομεν MA : εἶπεν D προεῖπον Δ εἴπομεν VU **5** *transit* V *ad p. 163, l.15.*

6–10 MDΔA *lemma non in* MA : ἄλλως DΔ **6** ἡσίοδος ΔA : ἡισίοδος M ἡδίοδος D | γὰρ M (*quae coniunctio ad Musaei mentionem supra factam spectare videtur, vide adnot. ad p. 165, l. 7)*: *om.* DΔA **7** φαισύλη MA : φαισύλης Δ *om.* D | ἠδὲ MDΔ : ἐκ δὲ A **8** καὶ εὐδώρη DΔA : ἰδ' εὐδ– M | *eosdem versus laudat Tzetzes ad Hes. Op. 382 et Chil. XII 168 sqq., vide infra Append. p. 548* **10** *post* ἀνθρώπων *scholii finem ut ceteri codices faciebat* M *primo; latet enim sub primis sequentis scholii litteris* (αἱ) *conclusionis signum*:–

11–17 M *hoc scholium addidit* M *in mg. inter. post paginam totam scriptam, nescio an novo fonte usus; vide infra ad 254 et Append. p. 547sqq.* **12** ἀνακλώμεναι M : ἀνακεκλιμέναι *Maass* **13–14** *post* πλαγιασθεὶς (*id est errans*) *distinxi* : *post* φησι M πλαγιασθεὶς *iniuria del. Maass* **15** αἵ θ' *Nicandri codd. et* M *infra ad 254* : αἳ δ' M | ὀλίζωνες *Nicandri codd.* : ὀλίζονες M | οὐκ ἔστι δὲ οὐρὰ *Maass* : |||| ʼκϊ δὲ οὐρᾶ M *ut vid.*

ἢ ὅτι παραπλησίως τῷ Υ στοιχείῳ κεῖνται, ἢ ὅτι δύνουσαι ποιοῦσιν ὑετόν, ἢ κατ' ἔλλειψιν τοῦ θ θυάδας. S

174. — λαιοῦ δὲ κεράατος ἄκρον: παρὰ δὲ τὸ ἄκρον τοῦ ἀριστεροῦ κέρατος τοῦ Ταύρου, καὶ τὸν ἀριστερὸν πόδα τοῦ Ἡνιόχου εἷς ἀστὴρ ἐπέχει. συνεληλάμενοι δὲ τῷ τόνῳ ὡς οὐτάμενοι. ὑφαιρεθέντος γὰρ τοῦ σ ἀναβιβάζεται ὁ τόνος. ὁ δὲ νοῦς· συνηρμοσμένοι δὲ φέρονται. MDΔVUAS

ταύτας δὲ τὰς Ὑάδας Διονύσου τιθήνας φασὶν εἶναι. ἢ ὅτι ἐν τῇ γενέσει τοῦ Διονύσου ὕσεν ὁ Ζεύς. τὰ δὲ ὀνόματα τούτων εἰσὶ ταῦτα· Ἀμβρόσια, Φαισύλη, Κλειτή, Εὐδώρα, Βρομεία, Κισσηίς. S

177-178. — ἀλλ' αἰεὶ Ταῦρος: ἅπερ κατὰ φυσικὴν αἰτίαν εἴωθε γίνεσθαι, ταῦτα οἱ ποιηταὶ ὡς ἐν παραδόξῳ λαμβάνουσι, καὶ ὡς καινότερα αὐτὰ καὶ ἀδύνατα προφέρονται, ὡς καὶ νῦν ἐπὶ τοῦ Ταύρου καὶ MA

1–3 S (*35ʳ,3–4*) *cf. supra ad p. 163, l. 15.*

4–9 MDΔVUAS (*35ʳ,4–5*) *lemma* M: λαιοῦ δὲ κεράατος (κέρατος VU) ΔVUAS λαιοῦ δέ D **4–5** παρὰ δὲ τὸ (τοῦ M) ἄκρον MS: τὸ δὲ ἄκρον DΔA περὶ δὲ τὸ ἄστρον VU; *legit interpres v. 175* παρακείμενον (*sic Aratei codd. in textu*: παρακειμένου *Hipparchus*) **5** τοῦ Ταύρου *om.* M **7–9** συνεληλάμενοι ... φέρονται: *in* DΔA συνεληλάμενοι (–μένοι D) δὲ ἀντὶ (*om.* A) τοῦ (*om.* A). συνηρμοσμένοι φέρονται. ἀναβιβάζεται (–ζει A) δὲ ὁ τόνος ἀφαιρεθέντος τοῦ σ ὡς οὐτάμενοι **7** συνεληλαμένοι V | δὲ *om.* U **7–9** ὡς ... φέρονται *om.* S **7–8** οὐτάμενοι M: οὐ τεταμένοι U οὐ τεταμένω V **8** ὑφαιρ– M: συναιρ– VU.

10–13 S (*35ʳ,5–7*) *cf. scholia Homerica infra Append. p. 553* **11** ἢ ὅτι...: *cf. Etym. Magn. 775,7* „ἢ ὅτι ὕσεν ὁ θεὸς ἐπὶ τὴν γέννησιν αὐτοῦ" | *de Hyadum nominibus vide J. Martin, Hist., Text. pp. 84–89 et R. Keydell ad Nonn. Dion. XXI 64sqq.* | Διονύσου *correxi*: –σίου S **12** Φαισύλη *correxi*: –σύλα S.

14–p. 168,3 MA (*in* A *post* πρότερος δύνει *infra p. 169, l. 9*)

τοῦ Ἡνιόχου φησὶν ὁ Ἄρατος, ὅτι καὶ τὸ καινότερον ἔχει τι ἄμεινον· [ἀνατέλλων ὁ Ταῦρος·] κρείττων γάρ ἐστι καὶ ταχίων εἰς τὸ δύεσθαι.

M τριῶν κύκλων τῶν παραλλήλων παραδιδομένων, συμβέβηκε διαιρεῖσθαι τὸ ὅλον σχῆμα εἰς μέρη η′, ⟨καὶ⟩ τοῦ μὲν θερινοῦ τροπικοῦ ἐν τῷ βορείῳ μέρει τὰ ε′ μέρη διηνεκῶς εἶναι ὑπὲρ γῆν, τὰ δὲ γ′ ὑπὸ γῆν, τοῦ δὲ ἰσημερινοῦ, ἴσον ἔχοντος τὸ ὑπὲρ γῆς τῷ ὑπὸ γῆν . . . . . κατὰ δὲ τὴν διαίρεσιν ταύτην ἀνατελλέτωσαν ὁ μὲν Ἡνίοχος ἐπὶ τοῦ θερινοῦ τροπικοῦ, ὁ δὲ Ταῦρος ἐπὶ τοῦ ἰσημερινοῦ. περιενεχθέντος οὖν τοῦ οὐρανοῦ, ὁ μὲν Ταῦρος λήψεται ἐκ τοῦ ὑπὸ γῆν τμῆμα α′ (λοιπόν, ἐκ τῶν η′, τὰ γ′), ὁ δὲ Ἡνίοχος ἐφάψεται τοῦ ὁρίζοντος, ὥστε τὰ λοιπὰ ἔχειν ὑπὸ γῆς γ′. περιενεχθέντος οὖν πάλιν τοῦ οὐρανοῦ [τὰ λείποντα εἰς η′ τμήματα, τὰ γ′] συμβήσεται τὸν Ἡνίοχον καὶ τὸν Ταῦρον ὑπὸ τὸν αὐτὸν χρόνον ἀνατεῖλαι.

MDΔVUA ἀ λ λ' α ἰ ε ὶ Τ α ῦ ρ ο ς: τάχιον δύνει ὁ Ταῦρος ἐπεὶ νοτιώτερός ἐστι τοῦ Ἡνιόχου, τὰ δὲ νότια πλέον ὑπὸ γῆν μέρος ἔχει· καὶ ὅλως τὰ ἐπὶ διαφόρων παραλλήλων κύκλων ἄστρα, τὰς ἀνατολὰς ἅμα ποιησάμενα, οὐχ ἅμα δύσεται. τὸ γὰρ βορειότερον, κατὰ μείζονος

1–2 ὅτι καὶ κ.τ.λ. *sic mutat* A: ὅτι καὶ τὸ καινότερον ἀνατέλλων ἔχει τι ἄμεινον ὁ Ταῦρος, ὡς (*decem fere litterae evan.*) ἐστί; Est *autem a codice* A *derivatus* (*unde Ald.*) „φησὶν ὅτι ὁ Ταῦρος τοῦτο καινότερον καὶ ἄμεινον ἔχει· συνανατέλλων γὰρ τῷ Ἡνιόχῳ πρότερον αὐτοῦ δύνει **2** ἀνατ– ὁ Τ– *seclusi*: ἀνατέλλων *iam seclusit Maass.*

4–17 M *qui hoc scholium cum praecedenti continuat* **4** τῶν παραλλήλων *fortasse delendum* **5** καὶ *add. Maass* **7** μέρη *Maass*: μέρει M **8** ἔχοντος *del. Maass*: *lacunam post* γῆν *statuere malui* **12** τμῆμα α′ *scripsi*: τμήματος M **12–13** λοιπόν M: *malim* λοιπά **14** ὥστε *Maass*: ὡς M **15–16** τὰ λείποντα . . . . . . τὰ γ′ *seclusi, cf. ll. 12–13.*

18–p. 169,6 MDΔVUA *lemma* DΔVUA: ἄλλως M *in mg.* **18** δύνει *codd.*: δύεται Δ **20–21** διαφόρων παραλλήλων MDΔA: διαφ– καὶ παρ– VU **22** δύσεται MVU: δύεται DΔA | γὰρ *codd.*: δὲ V

κύκλου φερόμενον, ὑστερεῖ τῷ χρόνῳ τῆς δύσεως, τὸ δὲ νοτιώτερον ⟨τάχιον⟩ κατανεχθήσεται ὡς ἀν' ἐλάσσονα κύκλον φερόμενον. ἀκουστέον δὲ συνανατέλλειν τῷ Ταύρῳ τὸν Ἡνίοχον οὐχ ὅλον ὅλῳ (τοῦτο γὰρ ψεῦδος), ἀλλ' ὅσα τῶν μερῶν συνανατέλλει, ταῦτα οὐ συγκαταδύεται διὰ τὴν ἔγκλισιν τοῦ κόσμου.

⟨ὁ μ η λ υ σ ί η π ε ρ ἀ ν ε λ θ ώ ν⟩: ὡσεὶ εἶπεν καίπερ ὁ μ ο ῦ ἀ ν ε λ θ ώ ν. λέγει δὲ ὅτι ὁ Ταῦρος, σὺν τῷ Ἡνιόχῳ ὁμοῦ ἀνελθών, πρότερος δύνει. τὸ δὲ ὁ μ η λ υ σ ί η ἀντὶ τοῦ ἅ μ α κ α ὶ κ α τ ὰ τ ὸ α ὐ τ ό. τὸ δὲ αἴτιον ὅτι τὰ βόρεια ἢ ὅλως οὐ δύεται, ἢ κατά τι δύεται, ἢ βραδέως δύεται· οἷον Ἄρκτοι ὅλως οὐ δύνουσιν, ὁ Κηφεὺς καταδύεται ὅσον αὐτοῦ ἐστιν ἐκ τοῦ νοτίου· οὕτω καὶ ὁ Ἡνίοχος βραδέως δύνει ὡς πρὸς τὰ ὑποκείμενα αὐτῷ νοτιώτερα ζῴδια. MDΔVUA

οὗτος οὖν ὁ Ταῦρος, νοτιώτερος αὐτοῦ ὤν, πρωῒ μᾶλλον καταφέρεται, ἐκεῖνος δὲ βραδύτερος, ὅσῳ καὶ βορειότερος. ἅμα δὲ ἀνατέλλουσι διὰ τὸ ἐξ ἀνατολῶν M

---

1 φερόμενον Est *unde Ald. edd.*: φέρον MDΔA φέ. U φέρει V | ὑστερεῖ M: ὑστερεῖται DΔA ὑποστερεῖ VU | τῆς δύσεως *codd.*: τῇ δύσει A **2** τάχιον *addidi* | ὡς ἀν' *scripsi*: ὡς ἂν *vel* ὡσὰν MDΔVUA **4** ὅλω VU (*sic iam Vat. 1307 e coniectura*): ὅλου M *ut vid.* ὅλως DΔA | τοῦτο MV^{pc}U: τουτί DΔA *de* V^{ac} *non liquet* **5** ὅσα MDΔA: ὅσον VU | συνανατέλλει *codd.*: –ειν A **6** συνκ– A | ἔγκλισιν MVU: ἔγκλησιν ΔA ἔκκλησιν D | *post* κόσμου *non dist. codd.*: *scholia hic separavit Bekker, post* εἶπεν (*l. 7*) *Maass.*

7–15 MDΔVUA *lemma add. Bekker* **7** ὡσεὶ *scripsi*: ὡς MVUA ὡς . . . ἀνελθών *om.* DΔ **8** λέγει *codd.*: λέγεται D **9** ὁμοῦ ἀνελθών M: ἀνατείλας (ὁμοῦ *om.*) DΔ συνανατείλας ὁμοῦ VU ἀνατείλας ὁμοῦ A | πρότερος MΔ: πρότερον DVUA | *post* δύνει *praebet* A *p. 167, ll. 14sqq.* **10** ὁμηλυσίη (*sic*) *codd.*: –σία M **10–11** κατὰ τὸ αὐτὸ MDΔ: κατ' αὐτὸ VUA **11** *post* τὸ αὐτὸ *add.* ἀνατείλας M (*cf. ad l. 9*) | *post* τὸ αὐτὸ *finem huius scholii faciunt* DΔ | δὲ *om.* A, *ut sit* κατ' αὐτὸ τὸ αἴτιον | ἢ *om.* VU **12** κατά τί (*sic*) δύεται M: καταδύεται VUA **14** ὁ MA: *om.* VU.

16–p. 170,8 M *qui haec cum praecedentibus continuat* **16** πρωῒ *scripsi*: πρῶτος M πρότερος *Maass qui tamen* μᾶλλον *non delet*

ὥσπερ ἐπινενευκότα καὶ κεκυρτωμένον ἄνω φέρεσθαι τὸν Ἡνίοχον. ὅτε μέντοι δύεται, καὶ πλείονα χρόνον ἀναλίσκει δυόμενος, ὅτι τῶν ἐπὶ τῆς κινουμένης σφαίρας ἀνατελλόντων ἅμα σημείων ὕστερον δύνει τὰ προσεγγίζοντα τῷ φανερῷ πόλῳ. μείζους γὰρ κατὰ τὴν ὁμοιότητα διανύει περιφερείας διὰ τὸ μετέωρον τοῦ πόλου. λήξας οὖν ἐπὶ τὸν Ταῦρον, ἄνεισι πάλιν ἐπὶ τὰ συνεχῆ καὶ βόρεια.

MDΔVUA 179. — οὐδ' ἄρα Κηφῆος: πάλιν ἕως τοῦ ζῳδιακοῦ ἐλθὼν καὶ διδάξας τὰ περὶ τοῦ Ταύρου ἀνέδραμεν ἐπὶ τὰ τοῦ βορείου λειπόμενα, πάλιν δὲ οὐδὲ τὸν Κηφέα ἀφ' ἑαυτοῦ διδάσκει, ἀλλ' ὥσπερ τὰ φθάσαντα διὰ τῶν ἐγνωσμένων, οὕτω καὶ τοῦτον διὰ τῆς ἤδη γνωσθείσης Κυνοσούρας Ἄρκτου. τὸ δὲ μογερὸν διὰ τὴν συμβᾶσαν συμφορὰν ἐν τῷ οἴκῳ αὐτοῦ χάριν Κασσιεπείας. αὕτη γὰρ ἤρισε ταῖς Νηρηΐσι περὶ κάλλους, αἱ δὲ ὀργισθεῖσαι κῆτος ἐπαφῆκαν τῇ Αἰθιοπίᾳ. ἔχρησε δὲ ὁ θεός, εἰ μὴ ἡ ταύτης θυγάτηρ Ἀνδρομέδα παραδοθῇ τῷ κήτει, μὴ παύσασθαι ⟨τὸ δεινόν⟩. ἡ δὲ ἐξετέθη· παριὼν δὲ ὁ Περσεὺς ἔσωσε τῇ Γοργόνι τὴν Ἀνδρομέδαν. πάντες οὖν κατηστερίσθησαν ἁπλώσαντες τὰς χεῖρας, ὥσπερ ὑπόμνημα τοῦ πάθους φέροντες.

3–4 τῶν ... σημείων *scripsi*: τοῖς ... σημείοις M τῶν .... σημείοις *Maass*.

9–23 MDΔVUA *lemma codd.*: ἀλλ' ἄρα Κηφῆος D **11** τὰ τοῦ βορείου λειπόμενα M: τὰ λειπ– τοῦ β– *codd.* | οὐδὲ *om.* D **12** τὰ MDΔ: τὸν VUA **13** τοῦτον *codd.*: τοῦτο A **14** Κυνοσούρας *om.* D | τῆς *ante* Κυν– *add.* VUA **15** συμβᾶσαν U: –βάσαν *codd.* **16** νηρηΐσι *codd.*: νηριΐσι Δ | περὶ κάλλους *om.* D **18** ἡ *om.* A **18–19** Ἀνδρ– παραδ– τῷ κήτει MVUA: παραδ– τῷ κήτει ἡ Ἀνδρ– DΔ **19** παύσασθαι *codd.*: –σεσθαι *Maass* | τὸ δεινὸν *addidi* (*vide p. 171, l. 5*): τὴν συμφορὰν DΔ *om.* MVUA | ἡ δὲ *codd.*: ἣ D **20** ἐξετέθη DΔA: ἐξετάθη M ἐξετέλει VU *ut vid.* | παριὼν *codd.*: περϊὼν A | γοργόνι *codd.*: γοργόνηι M **21–22** πάντες ... ἁπλώσαντες ... φέροντες MDΔ: πάντα ... ἁπλώσαντα ... φέροντα VUA *ut vid.* **21** κατηστερήθησαν A **22** ὥσπερ *om.* V.

ἡ Κασσιέπεια, γυνὴ οὖσα τοῦ Κηφέως, ἤρισε ταῖς Νηρηΐσι περὶ κάλλους. αἱ δὲ ὀργισθεῖσαι κῆτος ἐπαφῆκαν τῇ Αἰθιοπίᾳ. ἔχρησεν οὖν ὁ θεός, εἰ μὴ ἡ ταύτης θυγάτηρ Ἀνδρομέδα ἐκδοθῇ τῷ κήτει, μὴ παύσασθαι τὸ δεινόν. ὅθεν καὶ προετέθη μετὰ τῶν οἰκείων κόσμων, προσηλώθη δὲ ἵνα μὴ ἀποδράσῃ. μέλλοντος δὲ ἤδη τοῦ κήτους ἐξιέναι καὶ βορὰν ποιεῖσθαι αὐτήν, παριὼν ὁ Περσεὺς τὸ μὲν κῆτος ..... ἀπέκτεινε, τὴν δὲ Ἀνδρομέδαν ἠλευθέρωσε. πάντες γοῦν κατηστερίσθησαν ἁπλώσαντες τὰς χεῖρας, ὥσπερ ὑπόμνημα τοῦ πάθους φέροντες. Vat. 1087

Ἰ α σ ί δ α ο: Ἰασίδην τὸν Κηφέα εἶπε διὰ τὸ ἔχειν τὸ γένος ἀπὸ ⟨Ἰοῦς τῆς⟩ Ἰνάχου. ἀπὸ μητρὸς δὲ αὐτὸν ὠνόμασεν. οὐ γάρ ἐστι Κηφεὺς Ἰάσου, ἀλλ' Ἰοῦς τῆς Ἰνάχου. Ἰασίδης οὖν υἱὸς Ἰοῦς. Ἰοῦς γὰρ Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Ἀγήνωρ, οὗ Κηφεύς. MDΔVUA

181. — ἐ π ε ὶ Δ ι ὸ ς ἐ γ γ ύ θ ε ν ἦ σ α ν: ἐπεὶ δοκοῦσιν οἱ βασιλεῖς ἀπὸ Διὸς ἔχειν τὸ γένος. † ἢ αὐ- MDΔVUA

1–11 Vat. 1087 (*308*ʳ *sub Cephei Cassiepiae Andromedae imaginibus*) *cf. Apollod. 2,43–44* **8** *post* κῆτος *quid scriptum sit non dispicio*: ἔρρας*?*

12–16 MDΔVUA **12** ἰασίδαο. ἰασίδην MDΔ: ἰασίδα δὲ V ἰασίδ δὲ U ἰασίδαο δὲ A **13** Ἰοῦς τῆς *addidi*: *non videt interpres noster Aratum in eis fuisse, qui Io non Inachi filiam sed Iasi putabant* (*Paus. 2,16,1; Apollod. 2,1,3; schol. Eur. Or. 932*) **14** δὲ *om.* A | ὠνόμασεν MDΔ: κατωνόμασαν VUA | Ἰάσου *codd.*: Ἰνάχου D **15** ἰοῦς *codd.*: ἐοῦς A | ἰασίδης *codd.*: ἰασίδαο A | οὖν M: γοῦν DΔ δὲ ὡς V οὖν ὡς A *de* U *non liquet* **14–16** *de hac genealogia cf. schol. Eur. Or. 932.*

17–p. 172,2 MDΔVUA *lemma* M: ἐγγύθεν ἦσαν DΔ οὐρανὸν εἰς ὄνομ' ἦλθεν VA U *evan.* **17** ἐπεὶ MDΔ: ἐπειδὴ VUA **18** ἀπὸ **MVUA**: ἐκ DΔ **18–p. 172,2** *haec qualia sunt in* M *descripsi, non inepte correxit Byzantinus grammaticus cuius labori debetur codex Estensis* (ἢ εἰς τὸν οὐρανὸν ἔφθασεν ὁ Κηφεύς, ἐπειδὴ ἀπόγονος ἦν Διός· πρόγονος γὰρ αὐτοῦ ἡ Ἰώ); *scripserim ego fortasse* ἢ ἀντὶ τοῦ π ρ ὸ ς γ έ ν ο υ ς. ἀ λ λ' ἄ ρ α κ α ί (*180*): ⟨εἰς⟩ τὸν οὐρανὸν ἔφθασεν ὁ Κηφεὺς ἐπειδὴ Διὸς ἦν πρὸς γένους. ⟨πρόγονος γὰρ⟩ αὐτοῦ ἐστιν Ἰώ **18–p. 172,2** ἢ ... γένους *om.* VUA **18–p. 172,1** αὐτοῦ *Marciani apographa* Vat. 1307 *et* Casanat. 356 (C): αυ *vel* ἀν (with τ above) M ἀντὶ τοῦ DΔ

τοῦ πρὸς γένους. ἀλλ' ἄρα καὶ τὸν οὐρανὸν ἔφθασεν ὁ Κηφεύς. ἐπειδὴ Διὸς ἦν. πρὸς γένους αὐτοῦ ἐστιν Ἰώ.†

MDΔVUAS 184. — ἴ σ η ο ἱ σ τ ά θ μ η: ἴση εὐθεῖα, ἴση διάμετρος ἀπὸ τῆς Ἄρκτου ἕως τῶν ποδῶν ἀμφοτέρων τοῦ Κηφέως.

MDΔVUAS 185. — ὅ σ σ η π ο δ ὸ ς ε ἰ ς π ό δ α τ ε ί ν ε ι: ὅσον ἀπέχουσιν ἑαυτῶν οἱ πόδες, τοσοῦτον ἀπέχει ἡ οὐρὰ τῆς Ἄρκτου ἑκατέρου ποδὸς τοῦ Κηφέως.

S Ὅμηρος (Ο 410)· „στάθμη ⟨δόρυ⟩ νήϊον ἐξιθύνει".

MDΔVUA ἄ λ λ ω ς: στάθμη ἐστὶν ἡ εὐθεῖα γραμμή. ν ε ά τ η ς δὲ οὐρᾶς τῆς Κυνοσούρας Ἄρκτου. ἀπὸ ἄκρας τῆς οὐρᾶς εὐθεῖά τις γραμμὴ φέρεται εἰς ἑκάτερον πόδα τοῦ Κηφέως, τοσοῦτον ἀπέχοντα τὸ διάστημα ὅσον καὶ ἀπὸ τοῦ ποδὸς τοῦ Κηφέως ἐπὶ τὸν ἄλλον πόδα, ὡς τὸ μέγεθος εἶναι τρίγωνον ἰσόπλευρον ἀπὸ τῆς οὐρᾶς ἐπὶ τοὺς δύο πόδας καὶ τὸ τῶν δύο ποδῶν αὐτοῦ διάστημα.

---

1 οὐρανὸν MDΔA: οὐράνιον VU **2** πρὸς γένους M: πρὸς γένος DΔ πρόγονος VUA | αὐτοῦ ἐστιν Ἰώ MVA: αὐτοῦ γάρ ἐστιν ἡ Ἰώ DΔ | *in* U *post* ἔφθασεν *ultima verba evan.*, πρόγονος *tantum legere mihi videor.*

3–5 MDΔVUAS (*35ʳ,7–9*) *lemma* MDΔS: *om.* VA U *mutil.* **3** *ante* εὐθεῖα *add.* ἡ S **4** *ante* διάμετρος *add.* γὰρ DΔ | τῶν S: *om.* MDΔVUA **4–5** ἀμφοτέρων MVUA: –τέρου S *om.* DΔ **5** τοῦ Κηφέως *om.* A.

6–8 MDΔVUAS (*35ʳ,9–11*) *cum praecedenti scholio conflatum* | *lemma* S (ὅση): ὅση ἀπὸ ποδὸς εἰς πόδα τείνει MV UA τὸ δ' ὅσον ἀπὸ ποδὸς ἀντὶ τοῦ DΔ **7** ἑαυτῶν οἱ πόδες MDΔVA: οἱ πόδες αὐτῶν S U *mutil.* **7–8** ἡ οὐρὰ τῆς Ἄρκτου *codd.*: τῆς Ἄρκτου ἡ οὐρὰ A **8** *ante* ποδὸς *add.* τοῦ DΔ.

9 S (*35ʳ,11–12*) στάθμη ... ἐξιθύνει *O 410* (*cf.* ε *245*): στάθμη νήϊον ἰθὺν S *qui deinde pergit* νεάτη δὲ οὐρᾶς (*hoc est lemma eius scholii quod in* M *infra invenimus, quodque tamen* S *omisit alio scholio alio ex fonte adsumpto*).

10–17 MDΔVUA ἄλλως *et in textu et in mg.* M: *in textu* DΔ *om.* VUA **11** *post* Ἄρκτου *distinxi* **13** ἀπέχοντα A *ut vid.*: ἀπέχοντος MΔ ἀπέχον (τ *supra*) DVU **14** τοῦ ποδὸς MDΔ: ποδὸς VUA **14–15** ἐπὶ τὸν ἄλλον ... τρίγωνον *om.* VU **15** τὸ μέγεθος εἶναι MA: εἶναι τὸ μ– DΔ **16** ἐπὶ MDΔ: εἰς VUA | τοὺς *om.* A.

ἄλλως: ἴσόν φησιν ἀφεστάναι ἀπὸ τῆς οὐρᾶς τῆς Κυνοσούρας εἰς ἀμφοτέρους τοὺς πόδας τοῦ Κηφέως αὐτῷ τῷ τῶν ποδῶν διαστήματι. ἴση εὐθεῖά ἐστιν, ὡς εἶναι τὸ σχῆμα τρίγωνον ἰσόπλευρον. S

186. — αὐτὰρ ἀπὸ ζώνης: ἐπειδὴ ἡ τοῦ Κηφέως ζώνη ἀμυδρά ἐστιν, ἐκ τοῦ παρακειμένου Δράκοντος διδάσκει. ὁ δὲ νοῦς· κάτω δὲ τῆς τοῦ Κηφέως ζώνης ὀλίγον ⟨ἂν⟩ ἱέμενος καὶ περισκοπήσας βλέψειας ⟨τὴν⟩ τοῦ Δράκοντος πρώτην καμπήν, τὴν ἀπὸ τῆς κεφαλῆς τοῦ Δράκοντος κύκλωσιν. MΔDVUAS

188. — προκυλίνδεται: ἀνατολικωτέρα προθεωρεῖται. τὸ δὲ κυλίνδεται, οὐκ εὐσχημόνως κεῖται· πλατεῖα γὰρ καθ᾽ ἑκάτερα. MDΔVUAS

ἄλλως: ἔνιοι νομίζουσιν ἠγνοηκέναι τὸν Ἄρατον ὅτι ἡ Κασσιέπεια ἐπανατέλλει τῷ Κηφεῖ καὶ ἐπικαταδύνει, μὴ νοήσαντες ὅτι ἔθος ἐστὶ τῷ ποιητῇ τὴν ἀνατολὴν προτέραν καλεῖν. τὸ οὖν προκυλίν- MDΔVUAS

1–4 S (*35ʳ,12–15*) **1** ἴσόν φησιν *scripsi*: ἶσον φασὶν S.

5–10 MDΔVUAS (*35ʳ,16–19*) **5** ἐπειδὴ (ἐπεὶ DΔVUA) ἡ τοῦ Κ– ζ– *codd.*: ἐπὶ τῆς τοῦ Κ– ζώνης S **6** *post* ἐστιν *duodecim fere litterarum spatium vacuum reliquit* S | *ante* ἐκ *add.* ἡ S | περικειμένου D **7** διδάσκει *hic* MVUA: *ante* ἐκ τοῦ DΔ *om.* S **8** ἂν *hic addidi*: *post* βλέψειας *Maass* | ἱέμενος *codd.*: ἱστάμενος S **8–9** περισκοπήσας *codd.*: –πῶν S **9** βλέψειας MVUA: βλέψει S ἴδης D ἴδοις Δ | τὴν *addidi* | πρώτην *codd.*: ὀλίγην S | *post* καμπὴν *add.* ὅ ἐστι VUA **10** τὴν ... κύκλωσιν *om.* S | *post* κύκλωσιν *add.* λέγων DΔ.

11–13 MDΔVUAS (*35ʳ,20–21*) *lemma* S: τοῦ δ᾽ ἄρα δαιμονίη MΔVUA τοῦ δ᾽ ἄρα D **11** ἀνατολικωτέρα MΔ: –κώτερα D –κώτερον VUAS **12** τὸ δὲ MDΔ: τὸ VUA *om.* S | εὐσχημόνως MDΔVU *ut vid.* S: ἀσχημόνως A *cf. v. 654* **13** καθ᾽ *om.* S | ἑκατερά S.

14–p. 174,2 MDΔVUAS (*35ʳ,22–26*) *lemma codd.* (M mg.) **14** ἔνιοι νομίζουσιν *codd.*: ἐὰν νομίζωσι S | ἠγνοηκέναι *codd.* (ἠγνω– A): τὸ νενοηκέναι S **15** ὅτι ἡ Κασ– *om.* VU **15–16** ἐπικαταδύει DΔ **16** προτέραν MDΔ: πρότερον VUAS | καλεῖν MDΔAS: προκαλεῖν VU | τῶ οὖν U

δ ε τ α ι σημαίνει ὅτι ἡ Κασσιέπεια ἀνατολικωτέρα Κηφέως προθεωρεῖται.

S πρὸ αὐτοῦ τοῦ Κηφέως φέρεται.

MDΔVUA τὸ δὲ δ α ι μ ο ν ί η ἤτοι κακοδαίμων διὰ τὰ φαινόμενα καὶ συμβάντα αὐτῇ, ἢ μακαρία διὰ τὸ ἐν θεοῖς εἶναι.

MDΔVUA ο ὐ μ ά λ α π ο λ λ ή : καὶ γὰρ μικρὸν ἐπέχει τοῦ οὐρανοῦ τόπον, καὶ οὐ πάντη ἐν νυκτὶ πανσελήνῳ λαμπρὰ φαίνεται. οὐ γὰρ πολλοὶ αὐτὴν λαμπρύνουσιν ἀστέρες.

S 189. — π α μ μ ή ν ι δ ι : πανσελήνῳ. προκυλίνδεται Κασσιέπεια οὐ μάλα πολὺ φαινομένη ἐν παμμήνιδι νυκτί.

MS 188. — τ ο ῦ δ' ἄ ρ α δ α ι μ ο ν ί η : πλησίον δὲ τοῦ Κηφέως.

M τὸ δ α ι μ ο ν ί η διὰ τὸ ποιὸν αὐτῆς κατάστημα, ὥσπερ ἐν συμφοραῖς οὔσης διὰ τὴν παῖδα. ἐν νυκτὶ δὲ ἐχούσῃ πλήρη τὴν σελήνην οὐ πολλὴ καὶ λαμπρὰ

---

1 Καλλιέπεια S , *corr.* S^{sl} | ἀνατολικωτέρα MΔ: –κώτερα D –κώτερον VUAS **2** κυφέως S | προθεωρεῖται S: *non in* MDΔ VUA.

3 S (*35ʳ,27*).

4–6 MDΔVUA **4** δὲ δὲ A **4–5** φαινόμενα καὶ *om.* DΔ | συμβάντα *codd.*: συμβαίνοντα M **5** αὐτῆι MDΔ: αὐτοῦ VUA **6** εἶναι *om.* DΔ.

7–10 MDΔVUA *lemma* DΔVUA (*in* A *cum ultimis praecedentis scholii verbis conflatum*): προκυλίνδεται οὐ μάλα πολλὴ M **7** μικρὸν *codd.*: σμικρὸν M **8** οὐ VUA: οὔτε MDΔ **9** αὐτὴν *om.* VUA **9–10** λαμπρύνουσιν ἀστέρες MVUA: ἀστλαμπρ– DΔ *cf. glossema codicis* M *supra* γανόωσιν (*190*): λαμπρύνουσιν.

11–13 S (*35ʳ,27–29*) **11** *post* πανσελήνῳ *distinxi* **12** πολὺ S: *malim* πολλή.

14–15 M mg. S (*35ʳ,29–30*) *lemma* S (*cf.* MΔVUA *supra ad p. 173, l. 11; animadvertendum est hanc notulam in margine sinistro Aratei textus Marciani ascriptam eadem littera* γ *significari qua sch. 188*): τοῦ δ'ἄρα M **14** δὲ S: *om.* M.

15–p. 175,2 M mg. **17** οὔσης *Maass*: εἶναι M | *cf. supra p. 162, l. 10.*

φαίνεται ἡ Κασσιέπεια· ἀμυδροτέρους γὰρ ἔχει τοὺς ἀστέρας.

ταύτην δὲ τὴν Κασσιέπειαν ἱστορεῖ Σοφοκλῆς τῶν S
τραγῳδῶν ποιητὴς ἐν τῇ Ἀνδρομέδᾳ ἐρίσασαν περὶ κάλλους καὶ ἐλθεῖν εἰς τὸ σύμπτωμα. καὶ τὸν Ποσειδῶνα δι' αὐτὴν τὴν χώραν διαφθεῖραι τὸ κῆτος ἐπιπέμψαι. ὅθεν ὡς εἴρηται ἐν τοῖς ἄστροις ἐτέθη. ἐσχημάτισται δὲ καὶ αὐτὴ παρὰ τοῦ δίφρου καθημένη. ἔχει δὲ καὶ ἀστέρα ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α'. ἐφ' ἑκατέρου ὤμου α'. ἐπὶ τοῦ δεξιοῦ ἀγκῶνος, α'. ἐπ' ἄκρου τῆς χειρὸς λαμπρὸν α'. ἐπὶ τῆς ὀσφύος λαμπρὸν μέγα α'. ἐπὶ τοῦ ἀριστεροῦ μηροῦ ἐπὶ τοῦ γόνατος α'. ἐφ' ἑκατέρας τὰς γωνίας, λαμπρὸν α'. τοὺς πάντας ιγ'.

ἐσχημάτισται αὐτὴ ἐπ' ἀνακλίτου δίφρου καθη- M
μένη.

190. — οὐ γάρ μιν πολλοί: ἡ Κασσιέπεια MDΔVUAS
ἀστέρας ἔχει [ἐπὶ τοῦ σώματος] ἐκ διαστήματος ἀλλήλων κατ' εὐθεῖαν ὡς ἔγγιστα κειμένους· ὧν ὁ βορειότατος ἐπὶ τῆς καθέδρας ἐστίν, ὁ δὲ νοτιώτατος ἐπὶ τῆς κεφαλῆς, οἱ δὲ τούτων μεταξὺ δύο τὸ τῆς λακωνικῆς δικλίδος σχῆμα ποιοῦντες τοιοῦτον, , ὧν

3–14 S *(35r,30–41) Cassiepiae fabula (Catast. 16).*

15–16 M *glossema super* Κασσιέπεια *in Arati versu 189 scriptum; cf. Schol. Germ. BP ed. Breysig p. 77:* in sella anaclito sedens.

17–p. 176,2 MDΔVUAS *(35r,41–47) lemma codd.* **18** *post* ἔχει *fortasse* τρεῖς *addendum, sunt enim stellae* β γ ε | ἐπὶ τοῦ σώματος *seclusi: post* ἔχει *in* MVUA *post* κειμένους *in* DΔ *post* ἀλλήλων *in* S *cf. infra ll. 22 sqq.* **19** ὡς ἔγγιστα (ἔγκιστα U) κειμένους *codd.*: καὶ ἀντικειμένους S **19–20** βορειότατος *codd.*: –τερος V **20** τῆς *om.* V | νοτιώτατος *codd.*: νότιος VU **21** δύο *om.* S; *sunt stellae* α δ | τὸ *om.* S **22** τοιοῦτον Vat. 1307 *e Marciano descriptus* DΔA *ut vid.* (τοιοῦτ) S: τοιο|||| M (*ultimae litterae evan.*) τοιοῦτοι VU | *figuram a codice* Δ *sumpsi, ubi Cassiepia duplici lambda* (λλ) *exprimitur: om.* MDVUAS

ἡ μὲν πρώτη γραμμή ἐστι τὸ σῶμα, ἡ δὲ πλαγία τὰ γόνατα.

M 191. — ⟨ἐπιρρήδην⟩: ὀνομαστῶς ἐπέχουσιν, ἐφηρμοσμένως.

MDΔVUA 192. — οἵην δὲ κληῖδι: τὸ ἔνδοθεν ἡρμοσμένην εἶναι τὴν κλεῖν ἀρχαϊκόν ἐστιν. οὐ γὰρ ὡς νῦν ἐκτὸς ἦσαν αἱ κλεῖδες, ἀλλ' ἔνδον τὸ παλαιὸν παρ' Αἰγυπτίοις καὶ Λάκωσι. καὶ Ὅμηρος οἶδε τὸ τοιοῦτον, [ὅτι] ἔσωθεν τὰ θυρώματα ἀνακρουόμενα κληῖδι· „θυρέων ἀνέκοπτεν ὀχῆας ... τὰ δ' ἀνέβραχε" (φ 47) [δαίδαλα πάντα (T 13) ἀσφαλίσματα]. ἔστιν οὖν ἡ Κασσιέπεια ἐν οὐρανῷ [οὐχὶ πᾶσα, ὡς γέγραπται, ἀλλ' οὕτω .....] κλειδὸς ἔχουσα ἀρχαίας σχῆμα, καὶ οἱ ἀθρόοι ἀστέρες τὸ σῶμα ἀποτελοῦσιν, οἱ δὲ πλάγιοι τὰς χεῖρας, ἐκτεταμένας [οἱ δὲ κατωτέρω

---

1 ἐστι τὸ σῶμα MS: τὸ σῶμα ἐστὶν (*sic*) DΔ τὸ σῶμα *om.* VUA | ἡ δὲ *codd.*: M *evan.*

3–4 M mg *lemma addidi.*

5–p. 177,2 MDΔVUA *lemma codd.* **6** εἶναι MDΔ^{sl}VUA: ἔχει Δ **7** ἦσαν VU: εἰσιν MDΔA **8** Αἰγυπτίοις *codd.*: Αἰ *in* M *evan.* | τὸ *codd.*: *om.* DΔ **9** ὅτι *seclusi* | ἀνακρουόμενα MDΔV^{ac} *ut vid.*: ἀνακρούουσα V^{pc}UA ἀνακρούονται *Maass* | *post* κληῖδι *distinxi*: *post* ἀνακρουόμενα MDΔ *non dist.* VUA *ut vid.* | ἔσωθεν ... κληῖδι *libenter secluserim* **10** *aptius hic alius Homeri locus afferretur*: πύλας .... στιβαρῶς ἀραρυίας / δικλίδας ὑψηλάς. δοιοὶ δ' ἔντοσθεν ὀχῆες / εἶχον ἐπημοιβοί (*M 454–456*) | θυρέων *Homeri codd.*: θύρην MDΔVU θύρη A | ἀνέκοπτεν *Hom.* DΔVUA: –πτον M | ὀχῆας *Hom.*: ὀχῆα *codd.* | ἀνέβραχε VU: ἀνέβρεχε A ἀνέβραβε M ἔβραχε DΔ **11** δαίδαλα πάντα ἀσφαλίσματα *seclusi*: *cf. T 13* (τὰ δ' ἀνέβραχε δαίδαλα πάντα) *vox autem* ἀσφαλίσματα *glossa videtur esse quae ad* θυρώματα *pertinet* | δαίδαλα *om.* VU **12** ἐν οὐρανῷ *om.* VUA **12–13** οὐχὶ ... οὕτω *seclusi*; *post* οὕτω *figuram olim fuisse recte censet Maass* **12** ὡς γέγραπται: *haec* „*ad imaginem Cassiepiae ab aliis formatam*" *spectare censet Maass*, *sed potius ad ipsum scholium respicit interpolator* **13** οὕτω *codd.*: οὕτως A **14** οἱ *ante* ἀθρόοι *om.* D | τὸ σῶμα ἀστέρες τὸ σῶμα A τὸ στόμα V | ἐπιτελοῦσιν D **15** *post* χεῖρας *distinxi* | ἐκτεταμένοι VU*?* **15–p. 177,1** οἱ δὲ ... καθέδραν *seclusi* **15** κατώτεροι VU

ἅμα καὶ πόδας καὶ τὴν καθέδραν] ὡς δικλίδα [ὡς] πρόθυρα.

193. — τὸ δὲ δικλίδα δίθυρον. MDΔVUAS

194. — μουνὰξ δὲ εἷς ὑφ' ἕνα, οὐχ ἅμα πολλοί, DΔVUA ὀλίγων τῶν ἀμυδρῶν ὄντων.

195. — ἀποτείνεται ὤμων: ἡ δὲ Κασσιέ- MDΔVUAS πεια ἀποτεταμένας ἔχει τὰς χεῖρας εἰς ὀργυιάν. ἐσχημάτισται γὰρ ὥσπερ στερνοκοπουμένη.

ἄλλως: ἀποτελεῖ ὀργυιάν, καὶ εἴποις ἂν αὐτὴν MDΔVUA τῷ ποιῷ σχήματι ὥσπερ ἐπανιᾶσθαι τῇ παιδί.

ὅ ἐστιν ἀνιάζειν, λυπεῖσθαι. VUA

μουνὰξ δὲ κατὰ μόνας, ἐπεὶ ἐκ διαστήματός S εἰσι καθ' ἕνα καὶ οὐκ ἄθροισμα. ἰνδάλλονται . . .

---

1 ὡς δικλ- MDΔU ? A: καὶ δικλ- V | δικλίδα DΔ: δικλεῖδα MVUA | ὡς *ante* πρόθυρα *seclusi*: ὡς πρόθυρα *secl. Maass* **2** πρόθυρον A.

3 MDΔVUAS (*35ʳ,47–48*) τὸ δὲ δικλίδα (–κλεῖ– MVUA) *codd.*: δικλίδα δὲ S | δίθυρον: *sic etiam glossa* M *supra* δικλίδ' *in Arato 193*.

4–5 DΔVUA 4 εἷς ὑφ' ἕνα: *sic etiam glossa* M *supra* μουνὰξ *in Arato 194* | ὑφ' DΔ: ἐφ' VUA | ἕννα A.

6–8 MDΔVUAS (*35ʳ,49–50*) *lemma* MDΔ: ἡ δ' αὔτως VUA εἰ δ' αὐτοῖς ὀλίγον (*sic*) ἐπικρύπτεται (*?*) ἀποτείνεται S **7** ἀποτεταμμένας S | τὰς χεῖρας *om.* S | εἰς *om.* A | ὀργυιάν *codd.*: ὀργυαν (*sic*) M *ut vid.* **7–8** ἐσχημάτισται . . . στερνοκοπουμένη *codd.*: *om.* V **8** γὰρ *codd.*: δὲ M | στερνοκοπουμένη Est (*unde Ald. edd.*): στενοκ– MΔUAS στενοκομένη D.

9–10 MDΔVUA 9 ἄλλως . . . ὀργυιάν MUA: *om.* DΔV | εἴποις MDΔA: εἴπῃς VU *ut vid.* **10** τῶι (τὸ U *ut vid.*) ποιῶι MVUA: τῷ τοιῶδε DΔ | ὥσπερ MVUA: *om.* DΔ.

11 VUA

12–13 S (*35ʳ, 50–52*) *haec adnotatio inepto loco posita simul cum Andromedae fabula* (*infra l. 24*) *in codicis* S *exemplar inserta est* **13** *post* ἄθροισμα *distinxi*: ἰνδάλλεται *enim lemma esse videtur scholii cuiusdam nunc deperditi.*

MDΔVUA 197. — αὐτοῦ γὰρ κἀκεῖνο: τὸ χαλεποῖς πάθεσιν ὑποπεπτωκός.

κεκασμένον (198) διατετυπωμένον.

τὸ δὲ κυλίνδεται .... πάλιν τὴν θέσιν πρὸς τὴν συμφοράν. τὸ δὲ ἄγαλμα ἤτοι καταχρηστικῶς τὸ εἴδωλον, ἢ ἄγαλμα διότι κατηστέρισται μετὰ παντὸς τοῦ γυναικείου κόσμου καὶ ὥσπερ κεκοσμημένον ἐστίν.

198. — Ἀνδρομέδης: αὕτη κεῖται διὰ τὴν ἐν τοῖς ἄστροις τὸ Περσέως ἄθλοις ὑπόμνημα. διατεταμένας δὲ ἔχει τὰς χεῖρας, ὡς καὶ προετέθη τῷ κήτει ἀνθ' ὧν ἐσώθη ὑπὸ Περσέως, ἔχει δὲ ἀστέρας ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α'. ἐπὶ τοῦ ἀγκῶνος τοῦ δεξιοῦ α'. ἐπ' ἄκρου τῆς χειρὸς α'. ἐφ' ἑκατέρων τῶν ὤμων, α'. ἐπὶ ζώνης γ'. ὑπὲρ τὴν ζώνην, δ'. ἐφ' ἑκατέρων τῶν γονάτων, λαμπρὸν α'. ἐπὶ τοῦ ποδὸς γ'. ἐπὶ τοῦ ἀριστεροῦ α' πάντας ιζ'. φησὶ δὲ καὶ Εὐριπίδης ἐν τῷ αὐτῷ δράματι.

S 197-198. — τὸ οὖν ἑξῆς· κυλίνδεται κατὰ μεσημβρίαν, λοξὴν τὴν κεφαλὴν ἔχουσα κατὰ δύσιν, τοὺς δὲ πόδας κατὰ ἀνατολάς.

MDΔVUAS Ἀνδρομέδης ὑπὸ μητρὶ κεκασμέ-

1–8 MDΔVUA *lemma codd. omnes* **2** ὑποπτωκὸς A **3** κεκ– δὲ DΔ | διατετυπωμένον *codd.*: κεκλιμένον διατετυπωμένον *glossa in* M **4** *lacunam post* κυλίνδεται *statui, post* συμφορὰν *Bekker; ad sensum cf. supra sch. 188* (τὸ δὲ κυλίνδεται, οὐκ εὐσχημόνως κεῖται **5** πρὸς MDΔA: παρὰ VU *incert.* | ἄλγημα A **6** ἢ VA: ἢ ὅτι MDΔ *de* U *non liquet* **6–7** κατηστέρισται VU: κατεστήρικται MDΔ κατηστέρηται A **7** μετὰ *codd.*: διὰ D | καὶ *om.* A **8** ὥσπερ *codd.*: ὅτι ὥσπερ M | *hic in* MDΔVUA *sch. 222* (*infra p. 183, ll. 10–15*) *sub lemmate falso* αἰνὸν ἄγαλμα, *quod in* VUA *cum nostri scholii fine cohaeret.*

9–18 S (*35r,52–35v,2*) *Andromedae fabula* (*Catast. 17*) **9** *post* τὴν *deest* Ἀθηνᾶν.

19–21 S (*35v,2–3*) *post* ἑξῆς *et post* μεσημβρίαν *distinxi.*

22–p. 179,4 MDΔVUAS (*35v,3–5*) *lemma* M: Ἀνδρομέδης D Ἀνδρομέδης ὑπὸ Δ Ἀνδρομέδης ὑπὸ μητρὶ VA ἀνδρομ U (*evan. usque ad* μητρός) κεκασμένον S

ν ο ν : ὡς πρὸς σύγκρισιν τῆς μητρός. τὸ δὲ κ ε κ α σ μ έ ν ο ν κεχωρισμένον· οὐ γὰρ πάνυ πλησίον αὐτῆς ἐστιν. γράφεται καὶ κ ε κ ο μ μ έ ν ο ν, ἵν' ᾖ τεθρηνημένον.

MDΔVUA κεῖται δὲ ἐν τοῖς ἄστροις ἡ Ἀνδρομέδα διὰ τὴν Ἀθηνᾶν, τῶν Περσέως ἄθλων ὑπόμνημα. ἔχει δὲ καὶ αὕτη τὰς χεῖρας ἐκτεταμένας, ὡς προετέθη τῷ κήτει.

MDΔVUA ο ὔ σ ε μ ά λ' ο ἴ ω : ὁ νοῦς οὕτως· οὐδαμῶς δέ σε ὑπολαμβάνω νύκτα ἐπιτηρῆσαι ἀσέληνον ἵνα εὐσυνόπτως τὴν Ἀνδρομέδαν θεάσῃ· καὶ γὰρ αὐτόθεν λαμπροτάτη οὖσα καὶ ἐν παμμήνιδι νυκτὶ φαίνει. τὰ δὲ ζ ώ μ α τ α (201) ἱμάτια. δ ι ω λ ε ν ί η δὲ (202) ἐκτεταμένας χεῖρας ἔχουσα.

S ⟨οὐ⟩ ζητήσεις δέ, φησί, νύκτα ὅπως μᾶλλον ἴδῃς· ἐν γὰρ πάσῃ νυκτὶ φαίνεται, κἂν ὅτι μάλιστα πληροσέληνος ᾖ. ἐπέχει δὲ μοίρας μ' κατὰ μῆκος καὶ ⟨κατὰ⟩ πλάτος κζ'.

MDΔ 203. — δ ε σ μ ὰ δ έ ο ἱ κ ε ῖ τ α ι κ α ὶ ἐ ν ο ὐ ρ α ν ῷ : διατέταται, φησί, τὰς χεῖρας καὶ ἐν οὐ-

---

1–2 τὸ δὲ κεκ– *codd.*: κεκ– δὲ S **2** γὰρ *codd.*: δὲ D **3** καὶ *codd.*: δὲ καὶ S | κεκομμένον *codd.*: κεκασμένον A **3–4** τενθρηνημένον MS: τεθρυμμένον DΔ (–υμέ–) VA U *mutil.*

5–7 MDΔVUA **6** ὑπόμνημα M (ὑπὸ μνῆμα) DΔ: ὑπόδειγμα VA ὑπο|||| U | καὶ MDΔS: *om.* VA U *mutil.* **7** αὕτη MA: αὐτὴ DΔ αὕτως V U *mutil.* | προετέθη ΔVUA: προσετέθη MD.

8–13 MDΔVUA *lemma codd. omnes* **8** ὁ νοῦς οὕτως M UA: ὁ δὲ νοῦς οὗτος V *in mg. om.* DΔ **8–9** οὐδαμῶς δέ σε ὑπολαμβάνω MA: δὲ *om.* V οὐχ ὑπολ– δέ σε DΔ *inter* οὐδαμῶς *et* ἐπιτηρῆσαι *omnia evan. in* U **9** νύκτα *bis* D | ἀσέληνον *codd.*: ἀσ– καὶ σκοτεινὴν M **9–10** ἵνα εὐσ– MUA: ἵν' εὐσ– DΔ ἵνα καὶ συνόπτως V **10** αὐτόθεν *codd.*: αὐτόθι A **11** παμμήνιδι MVA: πολυμήνιδι DΔ U *mutil.* | φαίνει MVUA: –νεται DΔ **12** ἱμάτια *codd.*: *sic etiam glossa in* M | διωλενίη *edd.*: ὠλενίη *codd.* *(sic Maass)* **13** χεῖρας ἔχουσα M: ἔχουσα τὰς χ– *codd.*

14–17 S (*35^{v}, 5–6*) οὐ *addidi* | νύκτα *scripsi*: νυκτὸς S **16** ᾖ *scripsi*: ἐστὶν S **16–17** μ' κατὰ . . . κζ' *scripsi*: μ', καὶ τὸ μῆκος καὶ πλάτος κζ' S.

18–p. 180,1 MDΔ *lemma* M: δεσμὰ δέ οἱ DΔ

ρανῷ, ὥσπερ δεδεμένη, καθάπερ προὔκειτο τῷ κήτει.

MDΔVUA 205. — ἀλλ' ἄρα οἱ καὶ κρατὶ πέλωρ: πάλιν ἀπὸ τῆς Ἀνδρομέδας διδάσκει τὸν Πήγασον, ὅς ἐστιν ἡμίτομος κατὰ τὸν στηριγμόν, ἐπὶ τῆς κεφαλῆς τῆς Ἀνδρομέδας κείμενος. πέλωρ δὲ ἤτοι ἀπὸ τοῦ τμήματος τὸν ὅλον ἀναλογιζόμενος, ἢ διὰ τὸ λαμπροὺς ἔχειν ἀστέρας.

ἡμιτελής δέ (215) ἐστιν αὐτὰ τὰ ἐμπρόσθια φαίνων ἄχρι τοῦ ὀμφαλοῦ.

οἱ μὲν αὐτὸν λέγουσι τὸν κολάψαντα τὴν κρήνην ἐν τῷ Ἑλικῶνι, οἱ δὲ τὸν Πήγασον.

μίμημά φασιν εἶναι τοῦ Ἵππου [τοῦ Πηγάσου] ὃς πορευόμενος διὰ τοῦ Ἑλικῶνος τοῖς ποσὶν ἔρρηξε πηγὴν τὴν καλουμένην Ἵππου κρήνην.

---

1 προὔκειτο M: προέκειτο DΔ.

2–p. 181,5 MDΔVUA *cf. Catast. 18* | περὶ τοῦ Ἵππου M *in mg.*: *non in* DΔVUA | *lemma* M: ἀλλ' ἄρά (*sic*) οἱ DΔ ἀλλ' ἄρα οἱ καὶ (*om.* A) κρατὶ VA U *mutil.* **4** ὅς ἐστιν ἡμίτομος MDΔ: ὅ ἐστιν ἡμίτομον VUA | στηριγμόν *codd.*: ἀστερισμόν *Maass fortasse recte* **4–5** τῆς κεφαλῆς MDΔ: τὴν κεφαλὴν VA U *mutil.* **5** κείμενος MDΔU *ut vid.*: κειμένη V *ut vid.* κειμένης A | πέλωρ MDΔA: πέλωρον VU **6** τὸν ὅλον DΔ: τὸ ὅλον M τῶν ὅλων VUA | ἀναλογιζόμενος MDΔA: –μένη VU *ut vid.* **7** ἀστέρας MDΔ: τοὺς ἀστ– VA U *mutil.* **8** ἐστιν *om.* V **9** φαίνων ἄχρι MVUA: φέρων μέχρι DΔ (*cf. Catast. 18*: τούτου μόνον τὰ ἔμπροσθεν φαίνεται ἕως ὀμφαλοῦ, *et* S *infra p. 181, ll, 6–7*) **10** οἱ μὲν MVUA: καὶ οἱ μὲν DΔ | λέγουσι MDΔA: λέγοντες εἶναι VU | κολάψαντα *codd.*: κολλ– M **10–11** τὴν κρήνην ἐν τῶι Ἑλ– MVU (?) A: ἐν τῷ Ἑλ– τὴν κρ– DΔ *cf. AP 15,25* (*Dosiadae Ara, vv. 18–19*) „σὺ δ' ὦ πιὼν κρήνηθεν, ἣν / ἶνις κόλαψε Γοργόνος" **11** τὸν Πήγασον MDΔ: τὸ Πηγάσου VU τοῦ Πηγάσου A *secl. Maass* | *post* τὸν Π– *distinxit Robert* (*Erat. Catast. Rell. p. 120*) *quem contra codices secutus sum* („ἄλλοι δὲ τὸν Πήγασον εἶναί φασι" *Catast. 18, cf.* S *infra p. 181, ll. 9–11*) **12** φασιν εἶναι τοῦ (*om.* M) ἵππου τοῦ Πηγάσου MDΔ: φασιν εἶναι τὸν Πήγασον, ὅς VUA τοῦ Πηγάσου *seclusi collato Catast.* (*vide* S *infra*) **13** διὰ *om.* A **13–14** ἔρρηξε (ἔρηξε A ὤρυξε VU) πηγὴν τὴν καλουμένην Ἵππου κρήνην (κρήνην ἵππου A) MVUA: ἔρρηξε τὴν γῆν καὶ τὴν καλουμένην ἵπ– κρ– ἐξέφηνεν DΔ; *cf. Plut. Mar. 19* „ῥήγνυσι γὰρ αὐτόθι ναμάτων θερμῶν πηγὰς ὁ χῶρος"

ἱ ε ρ ὸ ς δὲ (215) ὁ Ἵππος ὅτι κατηστέρισται, ἢ ὅτι Ποσειδῶν αὐτὸν ἐγέννησεν, ἢ ὅτι „βροντήν τε στεροπήν τε φέρει Διὶ μητιόεντι" (Hes. Th. 286). εἴληφε δὲ τὴν ἱστορίαν παρ' Ἡσιόδου, διό φησιν (220-221) ο ἱ δ ὲ ν ο μ ῆ ε ς / π ρ ῶ τ ο ι κ ε ῖ ν ο π ο τ ό ν . .

205. — Ἵ π π ο ς: οὗτος φαίνεται ἡμιτελὴς αὐτὰ S τὰ ἐμπρόσθια φαίνων, ἕως ὀμφαλοῦ. Ἄρατος μὲν οὖν φησὶ τὸν ἐπὶ τοῦ Ἑλικῶνος εἶναι ποιήσαντα κρήνην τῇ ὁπλῇ, ὑφ' οὗ καλεῖσθαι Ἵππου κρήνην. ἄλλοι δὲ τὸν Πήγασον εἶναι τὸν εἰς τὰ ἄστρα ἀναπτάντα ὑπὲρ τῆς τοῦ Βελεροφόντου τρώσεως. διὰ δὲ τὸ μὴ ἔχειν πτέρυγας ἀπίθανον τοῦτο τισὶ δοκεῖ. Εὐριπίδης δὲ ἐν τῇ Μελανίππῳ ἵππιν εἶναι τὴν Χείρονος καὶ ἀπατηθεῖσαν ὑπ' Αἰόλου, φθαρῆναι. καὶ ἕως μὲν τινὸς κρύπτειν. ἐπειδὴ δὲ καταφανὴς ἦν διὰ τὸν ὄγγον τῆς γαστρός, φυγεῖν εἰς τὰ ὄρη. κἀκεῖ ὠδινούσης αὐτῆς τὸν πατέρα ἐλθεῖν κατὰ ζήτησιν. τὴν δὲ εὔξασθαι καταλαμβανομένην πρὸς τὸ μὴ γνωσθῆναι, μεταμορφωθῆναι. καὶ οὕτως γενέσθαι ἵππον τεκοῦσαν τὸ παιδίον. διὰ δὲ τὴν εὐσέβειαν αὐτῆς καὶ τοῦ πατρός, εἰς τὰ ἄστρα ὑπὸ τῆς Ἀρτέμιδος τεθῆναι. ὅθεν τῷ Κενταύρῳ οὐχ ὁρατή ἐστιν. ἔχει δὲ ἀστέρας ἐπὶ τοῦ ῥυχμοῦ, δύο. ἐπὶ τῆς κεφαλῆς α'. ἐπὶ τῆς σιαγόνος α'. ἐφ' ἑκατέρων τῶν νώτων α' ἀμαυρούς. ἐπὶ τοῦ τραχήλου α'. ἐπὶ τῆς κεφαλῆς λαμπρὸν α'. ἐπὶ τοὺς ὤμους ὁμοίον α'. ἐπὶ τοῦ στήθους α'. ἐπὶ τῆς ῥάχεως α'. ἐπὶ τῶν ἐμπροσθίων γονάτων, β'. ἐφ' ἑκατέρας ὁπλῆς, β'. τοὺς πάντας ιη'.

---

1 ὅτι MVU?: ὅταν A τῷ τοι καὶ DΔ | κατηστέρισται VU: κατηστέρικται M κατεστήρικται DΔ κατηστέρησαν A *ut vid.* **1–2** ἢ ὅτι *codd.*: ἢ ὅταν A **2** ἐγέννουσεν M **2–3** τε στεροπήν τε *Hes.* MDΔ: τε καὶ στερ– VUA **3** φέρει *Hes.* MDΔ: τρέφει ἢ μᾶλλον φέρει VUA | μητιόεντι MVUA: μητίεντι D μητήεντι Δ **4** Ἡσιόδου *codd.* (ἠδ– D *ut vid.*): –δω M | διό φησιν (*sic*) VU *ut vid.* A: δι' ὧν φησὶν DΔ *om.* M **5** πρῶτοι κεῖνο MDΔ: πρῶτοι κεῖνοι UA κεῖνοι πρῶτοι V.

6–27 S (*35v,6–17*) *Equi fabula* (*Catast. 18*). **13** Μελανίππω ἵππιν S: *legendum* Μελανίππη Ἵππην *(cf. Hygin. Astr. 2,18)*.

MDΔVUA 206. — γαστέρι νειαίρῃ: τῇ ἐσχάτῃ τῆς ἡμιτόμου γαστρὸς ἐπιψαύει τῆς Ἀνδρομέδας. εἷς δὲ ἀστήρ ἐστιν, ὃς διαζεύγνυσι τῆς τε Ἀνδρομέδας τὴν κεφαλὴν καὶ τὴν τοῦ Ἵππου ἡμίτομον γαστέρα.

MDΔVUAS 208. — οἱ δ' ἄρ ἔτι τρεῖς ἄλλοι: ἡ διάνοια τοιαύτη ἐστίν· εἰσὶ δὲ καὶ ἄλλοι τρεῖς ἀστέρες κατὰ τὰ πλευρὰ τοῦ Ἵππου, οἵτινες ἴσον ἔχοντες διάστημα πρὸς τὸν εἰρημένον ἀστέρα τετράγωνον ἰσόπλευρον ἀποτελοῦσι καὶ τὸν εἰκονισμὸν τοῦ Ἵππου εὔσημον ποιοῦσι λαμπρότατοι ὄντες.

S ἄλλως: δ' εἰσὶν ἀστέρες οἱ τὸ τοῦ Ἵππου σῶμα ἀποτελοῦντες, καὶ ἄλλοι οἱ τὸν αὐχένα καὶ τὴν κεφαλήν· οἱ δὲ δ' οὗτοι σφόδρα εἰσὶ λαμπροί.

MDΔVUA 210. — κεφαλὴ δέ οἱ οὐδὲν ὁμοίη: κατὰ τὸ φῶς. ἀμυδροὶ γὰρ οἱ ἐκεῖσε ἀστέρες. τὸ δὲ δολιχός περ ἐὼν οἶδε καὶ Ὅμηρος, τοὺς ἵππους ἐριαύχενας λέγων. διὸ καὶ οὗτός φησι πέλωρ ἵππος.

1–4 MDΔVUA *lemma* M (γαστέρῃ) DΔ: *om.* VUA *qui hoc scholium cum praecedenti continuant* **2** ἐπιψαύει δὲ A **3** ἐστιν *om.* VUA | τῆς τε MDΔA: τήν τε VU **3–4** τὴν MDΔ: *om.* VUA **4** τὴν *om.* V | ἡμίστομον Δ.

5–10 MDΔVUAS (*35ᵛ,17–20*) *lemma* MVUA (ἄρα VU): ἄλλοι *om.* DΔS **5–6** ἡ διάνοια τοιαύτη MDΔS: ἡ ἔννοια αὕτη VUA **6** δὲ MDΔS: *om.* VUA | τρεῖς *om.* D **7** κατὰ ... ἵππου MDΔS: *om.* VUA | τὰ πλευρὰ MDΔ: τὴν πλευρὰν S | ἴσον MDΔ: ἶσον VUA *om.* S **8** πρὸς *codd.*: κατὰ S | ἀστέρα *codd.* S^pc: ἀγῶνα S^ac **9** ἀποτελοῦσι *om.* S **10** εὔσαμον U | λαμπρότατοι ὄντες *om.* S | λαμπρότατοι MDΔ: λαμπροὶ VUA.

11–13 S (*35ᵛ,21–23*).

14–16 MDΔVUA *lemma* M: κεφαλὴ δέ οἱ DΔ καλοὶ καὶ μεγάλοι (*cum ipso scholio conflatum*) VUA **15** *ante* κατὰ *add.* συνακουστέον DΔ | οἱ ἐκεῖσε *codd.*: ὁ ἐκ– D **16** οἶδε καὶ Ὅμ– MΔVU: οἶδε. καὶ Ὅμ– A οἶδεν Ὅμ– D **17** λέγων M: λέγειν DΔVU λέγει A | καὶ *om.* M.

212. — αἰθομένης γένυος: καταλαμπούσης· ἐπ' ἄκραν γὰρ τὴν γένυν ἀστέρα ἔχει ὃς τοῖς προειρημένοις τέτρασιν ἄστρασιν ἴσος ἐστὶ κατὰ τὸ φῶς. MDΔVUA

ἡμιτελὴς δὲ (215) καὶ οὐχ ὁλοτελής ἐστιν, ἀλλ' ἀπὸ τοῦ ὀμφαλοῦ σὺν τοῖς ἐμπροσθίοις μέρεσι θεωρεῖται. MDΔVUAS

τὸν Ἵππον δὲ ἱερὸν (215) λέγει ὅτι Ποσειδῶνός ⟨ἐστιν⟩ ἐκ τῆς Γοργόνος· ,,τῆς δ' ὅτε δὴ Περσεὺς κεφαλὴν ἀπεδειροτόμησεν", φησὶν Ἡσίοδος (Theog. 280). S

222. — ἀλλὰ τὸ μὲν πέτρης: ἀλλὰ τὸ μὲν τοῦ Πηγάσου ὕδωρ ἀπὸ τῆς γῆς ῥεῖ, καὶ οὐδέποτε τοῦτο τὸ ὕδωρ τῶν τὴν Θέσπειαν οἰκούντων ἐκτὸς ὄψει. ὑπὸ τὰς ὑπωρείας γὰρ τοῦ Ἑλικῶνος ἡ Θέσπεια κεῖται, ἐν δὲ ταῖς ὑπωρείαις ἡ κρήνη εἰς Θέσπειαν ἐμβάλλεται. MDΔKVUAS

223. — αὐτὰρ ὁ Ἵππος: ὁ δὲ Ἵππος ἐν τῷ οὐρανῷ εἱλεῖται, ἀντὶ τοῦ κύκλῳ συστρέφεται, καὶ δυνατὸν κατοπτεῦσαι. ἡ μὲν κρήνη ἐν Θεσπείᾳ, MDΔKVUAS

1–3 MDΔVUA *lemma codd. omnes* (–θόμενοι A) **3** ἄστρασιν (*sic codd.*) *om.* Δ | ἴσος *codd.*: ἴσως A.

4–6 MDΔVUAS (*35^{v},23–25, praefixo signo* ☾·) **4** δὲ καὶ MDΔ: δὲ VUA καὶ V^{sl} *om.* S | ὁλοτελὴς MVUA: ἀτελὴς S ὁλόκληρος DΔ.

7–9 S (*35^{v},25–27*) **8** ἐστιν *addidi.*

10–15 MDΔKVUAS (*35^{v},27–31*) *haec praebent post sch. 197* (*supra p. 178, l. 8*) MDΔVU, *post p. 184, l. 10* K, *suo loco* S *solus* | *lemma* S *praefixo signo* ⊂⊃ : αἰνὸν ἄγαλμα (*v. 197*) MDΔVUA (*in* VUA *cum scholio 197 conflatum*) *om.* K **10** *ante* ἀλλὰ *add.* πλὴν K **11** ὑδὼρ *om.* S | ἀπὸ τῆς γῆς *codd.*: ἐπὶ τὴν γῆν S **12** τοῦτο τὸ ὕδωρ MDΔS: τὸ ὕδωρ τοῦτο KVUA | τὴν MDΔAS: *om.* KVU | ἐκτὸς *codd.* (ἐτὸς V U *mutil.*): ἑκὰς *Maass* **13** ὑπὸ τὰς ὑπωρείας MK (ὑπορ–) VA: ὑπὸ ταῖς ὑπωρείαις DΔ ὑπὲρ (ὑπὸ S^{sl}) τῆς ὑπωρίας. S U *mutil.* | γὰρ *codd.*: ἀπὸ γὰρ S **14** ὑπωρείαις *codd.*: ὑπορ– KS **15** ἐμβάλλεται *scripsi*: ἐμβάλεται S ἐκβάλλουσα MDΔ *om.* KVUA.

16–p. 184,10 MDΔKVUAS (*35^{v},32–42*) *lemma* MDΔK: αὐτὰρ Ἵππος ἔνδιος (–δειος V) VU αὐτὰρ ὁ Ἵπ– ἔνδιος A *om.* S **16–18** ὁ δὲ ... Θεσπείαι MS: *om.* DΔKVUA **16** τῷ *om.* S **18** *scribendum fortasse* δυνατὸν ⟨αὐτὸν⟩ | ἐν Θεσπείαι M: εἰς Θέσπειαν S

ὁ δὲ Ἵππος ἐν τῷ τοῦ Διὸς οἴκῳ, ἐν τῷ οὐρανῷ· ἤ, ὡς Διόδωρος, ἔνδιος ὁ μεσημβρινός· „ἔνδιος δ' ὁ γέρων ἦλθ' ἐξ ἁλός" (δ 450). κεῖται γὰρ μεταξὺ τοῦ θερινοῦ τροπικοῦ καὶ τοῦ ἰσημερινοῦ. οὐ βέβαιον δέ· καὶ γὰρ ἐπὶ τοῦ Περσέως εἶπεν Ἄρατος (253) ἴχνια μηκύνει κεκονιμένος ἐν Διὶ πατρί. Θέσπεια δὲ πόλις Βοιωτίας ὑπὸ τῷ Ἑλικῶνι, ἀπὸ Θεσπείας τῆς Ἀσωποῦ, ᾗ τρεῖς δωρεὰς Ἀπόλλων ἔδωκεν, ἐπώνυμον αὐτῆς πόλιν ἐπὶ γῆς, ἐν οὐρανῷ τὴν Παρθένον, ἐν τοῖς μαντείοις τὸ θεσπίζειν.

8 αὐτὸς οὖν οὗτος δοκεῖ εἶναι ὁ τὸν Φρύξον διακομίσας καὶ τὴν ἕλληνα ὃς εἶχε χρυσῆν δορὰν ὡς Ἡσίοδος. διακομίζων δὲ αὐτὸς τὴν μέν, κατὰ τὸ στενότατον τοῦ πελάγους ἐᾶσαι. ἣν φθείρας Ποσειδῶν ἔσχεν ἐξ αὐτῆς Παίονα. τὸν δὲ Φρύξον εἰς τὸν εὔξεινον πόντον σωθῆναι πρὸς τὸν Αἰήτην. δέδωκε δὲ καὶ τὴν χρυσῆν δορὰν ὅπως ἔχῃ μνημόσυνον. αὐτὸς δὲ εἰς τοὺς ἀστέρας ἀπῆλθεν. ἔχει δὲ ἀστέρα ἐπὶ μὲν τῆς κεφαλῆς λαμπρὸν α'. ἐπὶ τῶν μυκτήρων γ'. ἐπὶ τοῦ τραχήλου β'. ἐπ' ἄκρου τοῦ ἐμπροσθίου ποδὸς α'. ἐπὶ τῆς ῥάχεως, δ'.

---

1 ἐν τῷ .. οἴκῳ *om.* S **1–4** ἐν τῷ οὐρανῷ ... βέβα]ιον *in* U *mutilo non legitur* **1** *post* οὐρανῷ *add.* δηλονότι K **2** ὁ μεσημβρινὸς *codd.*: ὅ ἐστι μεσημβρινῶ S | *post* μεσημβρινὸς *add.* καὶ Ὅμηρος DΔ | ἔνδιος *codd.*: ἐκ Διὸς S **3** ἦλθ' MDΔ: ἦλθεν KVAS | γὰρ MKVAS: δὲ DΔ **4** ἰσημερινοῦ *codd.*: μεσημβρινοῦ K *qui post hoc verbum finis signum praebet; sed alteram scholii partem ante sch. 222 (supra p. 183, l. 10) habet, a verbis* τῆς ἀσωποῦ; *reliqua autem cum proximo folio perierunt (vide supra ad p. 145, l. 3)* **4–6** οὐ βέβαιον ... πατρὶ *om.* A **4** οὐ S: *om.* MDΔV | βέβαιον MS: βιβλίον V |||||ιον U δῆλον DΔ **5** γὰρ MDΔ: πὰρ VU | ἐπὶ τοῦ Περσέως εἶπεν (εἶ VU) Ἄρατος (ὁ Ἄρ– DΔ) MDΔVU: εἶπεν ὁ Ἄρ– ἐπὶ τοῦ Π– S **6** κεκονημένος VU | τῶι Ἑλικῶνι (ἰλικῶνι D) *codd.*: τοῦ Ἑλικῶνος S **8–9** Ἀπόλλων ἔδωκεν DΔ: Ἀπ– δέδωκεν MKVUA ἔδωκεν Ἄπ– S **9** ἐπώνυμον αὐτῆς (αὐτῇ K) *hic* MKVUA: *post* πόλιν DΔ *om.* S *fortasse recte* **10** καὶ ἐν τοῖς K.

11–p. 185,2 S (*35^{v},42–53*) *Arietis fabula* (*Catast. 19*) **12** ἕλληνα S^{pc} *ut vid.*: ἑλλήνη S^{ac} *ut vid.*

ἐπὶ τῆς κέρκου α′. ἐπὶ τῆς κοιλίας γ′. ἐπὶ τοῦ ἰσχίου α′. ἐπ' ἄκρου τοῦ ποδὸς α′. τοὺς πάντας ιζ′.

225. — αὐτοῦ καὶ Κριοῖο: τοῦτον τὸν Κριὸν Ἐρατοσθένης εἶναί φησι τὸν Ἕλλης καὶ Φρίξου, ὃν θύσας τῷ Φυξίῳ Διὶ Φρίξος τὴν δορὰν ἔδωκεν Αἰήτῃ· διὸ καὶ τοὺς ἀστέρας αὐτοῦ ἀμαυροῦσθαί φησιν ὡς ἐκδαρέντος. τὸ δὲ αὐτοῦ ἐπὶ τοῦ Ἵππου κεῖται. φησὶ δὲ τοῦ τε Ἵππου καὶ τοῦ Κριοῦ, διὰ τὸ πλησίον εἶναι τοῦ ἰσημερινοῦ, ταχυτάτην εἶναι τὴν κίνησιν. δύναται δὲ τοπικῶς τὸ αὐτοῦ ὑπακούεσθαι, οἷον ἐνθάδε. MDΔKVUA

φασὶ δέ τινες ὅτι ἀκαίρως ἦλθεν ἐπὶ τὸν Κριὸν ἀπὸ τοῦ Ἵππου· ἔδει γὰρ τὰ ὑποκείμενα δηλῶσαι, τοὺς Ἰχθῦς ἢ τὸν Ὑδροχόον. ἀλλά φαμεν ὅτι ἀπὸ τοῦ Ταύρου ἐφεξῆς τοὺς ἄλλους διδάξας, ἐπὶ τὰ ἑξῆς ἦλθεν, ἐπὶ τὸν Κριόν· αὐτὸς δὲ πλησίον Ἀνδρομέδας. καὶ πόθεν τοῦτο; ὑποκατιών φησιν Ἀνδρομέδης, ὀλίγον γὰρ ὑπ' αὐτὴν ἐστήρικται MDΔKVUAS

3–11 MDΔKVUA *lemma codd. omnes* **4** εἶναι MKA: *om.* DΔV | φησὶν *post* Φρίξου DΔ | τὸν *codd.* (U *mutil.*): *om.* KA **5** Φρίξος *codd.*: φρύ– KA | ἔδωκεν MΔ: δέδωκεν DKVUA **7** τὸ δὲ αὐτοῦ MDΔK: τὸ αὐτὸ VU *ut vid.* τὸ αὐτοῦ A **8** τε MΔKAU[ac] *ut vid.*: γε VU[pc] *ut vid. om.* D **9** εἶναι MKA: ἔχει V *om.* DΔ U *mutil.* **10** δύναται *codd.*: –σθαι VU | τοπικῶς M: καὶ τοπ– *codd. fortasse recte* | αὐτοῦ DΔKA: αὐτὸ M αὐτὸν VU | ὑπακούεσθαι *codd.*: ἀκούεσθαι VU **11** ἐνθάδε KVU: ἔνθα MDΔA.

12–p. 186,2 MDΔKVUAS (*35v,53–36r,4*) **12** τινες S: *om. codd.* **12–13** ἐπὶ τὸν Κριὸν ἀπὸ τοῦ Ἵππου MDΔV[pc]UA: ἀπὸ τοῦ Κριοῦ ἐπὶ τὸν Ἵππον V[ac] ἀπὸ τοῦ Ἵππου ἐπὶ τὸν Κριὸν K ἀπὸ τοῦ Ἵππου ἐπὶ τοῦ Κριοῦ S **13** ὑποκείμενα *codd.*: ἀποκ– S **13–14** ἢ τοὺς Ἰχθῦς S **14** ἀλλὰ *codd.*: καὶ K **14–15** τοῦ Ταύρου *scripsi*: τοῦ (*om.* D) Σκορπίου *codd.* **15** ἐφεξῆς DΔS: τοὺς ἐφεξῆς KA ἑξῆς MVU | τοὺς ἄλλους *scripsi*: τοὺς ἄλλους τοῦ Ταύρου MDΔ VS τοῦ Ταύρου KA U *mutil.* | διδάξας *codd.*: δηλώσας K **16** ἐπὶ τὰ MDΔS: ἔπειτα KVUA | *post* Κριὸν *add.* ἀπὸ τοῦ Ἵππου V **17** *post* τοῦτο *interrogationis signum posui* | *post* ὑποκατιὼν *add.* γὰρ DΔ | *ante* Ἀνδρομέδης *add.* νειόθεν M (*cf. v. 234*) **18** ὑπ' αὐτῇ S

(230). θοώταται δὲ διὰ τὴν ἐπαγομένην θεωρίαν.

MDΔKVUAS 226. — ὅς ῥά τε καὶ μήκιστα: ὁ Κριός. πληθυντικῶς δὲ εἶπε, μέγιστον κύκλον, τὸν ἰσημερινόν. μέγιστος γάρ ἐστι πάντων, ἐπειδὴ καὶ μέσην τέμνει τὴν σφαῖραν.

MDΔKVUA τὸ δὲ διωκόμενος χαριέντως εἶπεν, ὡς πρὸς τὰς ταχείας αὐτοῦ ὁδούς. ὅπερ οὖν κατὰ φύσιν ἔχει, τοῦτο καὶ προείπομεν ὅτι ἐν θαυμασμῷ λαμβάνει.

M ὁ Κριὸς οὗτος, ἐπὶ τοῦ μεγίστου τῶν παραλλήλων κύκλων, τοῦ ἰσημερινοῦ, ὤν, ἐν ἴσῳ χρόνῳ ἀπὸ σημείου ἐπὶ σημεῖον φέρεται ἐν ὅσῳ καὶ ἡ μικρὰ Ἄρκτος, τὸν ἐλάχιστον περιγράφουσα κύκλον, φύσει τῶν περὶ ἄξονα κινουμένων κύκλων, τῶν τε μεγίστων καὶ ἐλαχίστων, ἰσόχρονον ἐχόντων τὴν ἀποκατάστασιν, ὡς καὶ ἐπὶ θύρας. ἐν ταὐτῷ γὰρ ἀποκαθίσταται ὁ στρόφιγξ καὶ τὸ ἀκρότατον μέρος τῆς θύρας, ἀνοιγομένης καὶ κλειομένης αὐτῆς.

MDΔKVUA οὕτως οὖν καὶ ἡ σφαῖρα ὁμοχρόνως ἑαυτῇ πᾶσα κινεῖται.

MDΔKVUAS ἔστι δὲ ὁ Κριὸς μέσος ὑπὸ τοῦ ἰσημερινοῦ τεμνό-

---

1 θοώταται DΔKVU: -τοι MAS | *post* θοώτατοι *add.* κέλευθοι S | διὰ τὴν *om.* S *spatio vacuo relicto.*

2–6 MDΔKVUAS (*36ʳ,4–5*) *lemma* MDΔK: ὅς ῥά τε VS U *mutil.* ὅς ῥά τε καὶ μήκιστα διωκόμενος περὶ κύκλα A **3** ὁ Κριὸς *codd.*: *non in* S | δὲ *codd.*: *om.* KS **4** μέγιστον ... ἰσημερινὸν MDΔVU: μήκιστα (μέγιστα A) κύκλα, τὸν ἰσημερινὸν δὲ δηλοῖ KA *non in* S **5** ἐστι πάντων *codd.*: π- ἐστι KS | ἐπειδὴ *codd.*: ἐπεὶ VU.

7–9 MDΔKVUA **7** *post* διωκ- *add.* ἐπειγόμενος M **8** αὐτοῦ *om.* V | ὅπερ MDΔ: ὥσπερ KVA U *mutil.* **9** προείπομεν: *cf. sch. 177 p. 167, ll. 14sqq.*

10–18 M

19–20 MDΔKVUA οὕτως οὖν καὶ M: ἀεὶ γὰρ DK ἀεὶ δὲ ΔVUA.

21–p. 187,12 MDΔKVUAS (*36ʳ,5–9*) **21** δὲ *codd.*: γὰρ S | ὑπὸ AS: ἀπὸ MDΔKVU | τοῦ ἰσημερινοῦ *codd.*: ἰσημερινῆς S | μέσος *post* ἰσημ- A

μενος· διὸ καὶ ἰσημερία ἐστὶ τοῦ ἡλίου ἐν Κριῷ γινομένου. ἀνατέλλοντος τοίνυν τοῦ Κριοῦ, ἡ Κυνόσουρα μέση ἐστὶν ὑπὸ τὸν μεσημβρινὸν πόλον· ἀνύοντος δὲ τοῦ Κριοῦ τὸ ὑπὲρ γῆν ἡμισφαίριον, καὶ τῶν ὑπὸ γῆν πάλιν ἐπ' ἀνατολὰς ἐρχομένων, ἰσοχρόνως κινεῖται ἡ Κυνόσουρα καὶ πάλιν εὑρίσκεται ὑπὸ τὸν μεσημβρινὸν πόλον. εἰ καὶ ὀλίγον οὖν κινεῖται ἡ Κυνόσουρα περὶ τὸν βόρειον πόλον, ὅμως, φησί, μέγιστα τὰ κύκλα ἀνύων ὁ Κριὸς κατ' οὐδὲν αὐτῆς βραδύτερον κινεῖται. ἔστι δὲ ἰδεῖν καὶ ἐπὶ τοῦ τροχοῦ τοῦτο καὶ χοινικίδος. τῷ γὰρ παντὶ κύκλῳ τοῦ τροχοῦ ἡ χοινικίς, καίτοι ἔλαττον στρεφομένη, ἰσοχρόνως κινεῖται.

320. — τ ὰ δ ὲ ν ε ι ό θ ι : — τὰ νότια. κάτω γὰρ ἐκεῖνα ὡς πρὸς τὸ ἔγκλιμα τοῦ κόσμου, ὥσπερ ἄνω τὰ βόρεια διὰ τὸ ἔξαρμα. MDΔKUA

ὁ δὲ νοῦς· τὰ δὲ ἄλλα ζῴδια κάτω ὡς πρὸς τὸν νότον τέλλεται, καὶ ἔστι πολλὰ μεταξὺ τοῦ τε νότου καὶ τοῦ ζῳδιακοῦ κύκλου. MDΔKUAS

⟨κ έ χ υ τ α ι⟩: ἄλλα ἐν ἄλλοις διάκειται τόποις. τὰ δὲ ὑπὸ ταῦτα λέγεται φέρεσθαι μεταξὺ νότου καὶ τῆς τοῦ ἡλίου κελεύθου. MDΔKUAS

---

1 *lacunam statuit Maass, qui add.* τὸν δὲ περὶ τῶν νοτίων.

2–8 MDΔKUAS (*38ʳ,14–17*) *hoc a praecedenti scholio non dividunt* MDΔKU *lemma* καὶ τὰ μὲν οὖν S *lemma nullum* A **2** δὲ MDΔK: *om.* UAS | τῷ *om.* DΔ | βορείῳ *codd.*: ὠρίωνι U **2–3** μέχρι . . . ζῴδια *om.* S **4** πάντα ταῦτα M: ταῦτα πάντα DΔKUA πάντα *om.* S *fortasse recte* | ζῴδια *om.* A **4–7** τοῦ βορείου . . . ἀλήσιος δὲ ὅτι *om.* S **5** καὶ πλάνης M: *non in* DΔKU *ut vid.* (*evan.*) A *seclusi* **6** λέγῃ *om.* K | βορέου MKUA: βορείου DΔ **7** ἥλιος *om.* U | εἷς τῶν *codd.*: μεταξὺ S | πλανητῶν MDΔ: πλανήτων KUAS.

9–11 MDΔKUA (*post sch. 322 in* A) *lemma* MK: νειόθι τέλλεται DΔA τὰ δὲ νειόθι τέλλεται U **9** τὰ MDΔUA: ἤτοι K **9–10** κάτω γὰρ ἐκεῖνα MDΔKU: γὰρ κάτω κεῖνται A **10** ἔγκλιμα DΔKU: ἔγκλημα M κλίμα A **11** τὰ¹ *om.* D.

11–13 MDΔKUAS (*38ʳ,17–19*) *lemma* τὰ δὲ νειόθι S **11** ὁ δὲ νοῦς MDΔKUA: *om.* S | ζῴδια *codd.*: ἄστρα A **12** πρὸς τὸν νότον *codd.*: ἐπὶ νότον S **13** νοτίου U.

14–16 MDΔKUAS (*38ʳ,19–21*) *lemma posui*: *scholia non dividunt codd.* **14** ἄλλα K: ἀλλ' MDΔUS καὶ ἄλλ' A *quod servat Maass* | διάκειται S: κέχυται MDΔKUA **15** τὰ δὲ . . . μεταξὺ *codd.*: καὶ ἔστι μεταξὺ τόπου D καὶ ἔστι μεταξὺ Δ | ὑπὸ ταῦτα MAS: ὑπὸ κάτω K (ὑπὸ *s.l.*) U *ut vid.* ([. . . . . .] ω) | λέγεται φέρεσθαι MKUA: κέχυται καὶ φέρεται S **15–16** νότου κ. τ. λ. *codd.*: τοῦ τε νότου καὶ τοῦ κελεύθου τοῦ ἡλίου S.

MDΔKUA 321. — καὶ ἠελίοιο κελεύθου: ἡλίου κέλευθός ἐστιν ἡ διὰ μέσου τῶν ιβʹ ζῳδίων ἐξ ἐναντίας τῷ παντὶ κίνησις, ἣν ἄλην (319) εἶπεν οὐκ ἀπεικός. ἀνώμαλος γὰρ καὶ βραδεῖα. ἀγόμενος γὰρ ὁ ἥλιος ὑπὸ τῆς τοῦ οὐρανοῦ περιφερείας, αὐτὸς εἰς τοὐπίσω κατὰ μικρὸν ὑπονοστεῖ, καὶ ταύτην ἰδίαν αὐτοῦ κίνησιν λέγουσιν, ἄνισον ἐν ἰσημερίαις καὶ τοῖς διαστήμασι τοῦ χρόνου θεωρουμένην.

S ἔστι δὲ ἡ τοῦ ἡλίου κέλευθος διὰ μέσων τῶν ιβʹ ζῳδίων.

MDΔUAS 322. — λοξὸς μὲν Ταύροιο: πληρώσας πάντα τὰ ἐν τῷ βορείῳ, καὶ ἐξ ἐκείνων διδάξας τὰ ιβʹ ζῴδια,

MDΔUA ἔρχεται ἐπὶ τὸ νότιον, καὶ πάντων τῶν ἐν αὐτῷ διδασκαλίαν ποιούμενος ἐκ τοῦ ἐπισημοτέρου καὶ λαμπροτέρου [ὑπὲρ πάντα τὰ νότια] ἤρξατο, ὅτι καὶ τῆς ὁμηρικῆς χρήσεως ἔτυχεν (ἐν βραχεῖ γὰρ ὁ ποιητὴς ἀπὸ δύο ζῳδίων ἐπισήμων τά τε βόρεια καὶ τὰ νότια

1–8 MDΔKUA *lemma* MDΔK: ·]ηελίου κελεύθου A *om.* U **2** μέσου MKU: μέσων DΔ μέσον A | ζωδίων ιβʹ A | ἐξ *Maass*: τῆς *codd.* **3** κίνησις *Maass*: κινήσεως *codd.* | ἄλην *Maass*: ἄλην M ἄλλην DΔKUA | εἶπεν MDΔA: εἰπεῖν K *om.* U **4** γὰρ[1] MDΔA: μὲν KU | γὰρ[2] MDΔ: δὲ KUA **5** περιφερείας *codd.*: περιφορᾶς A | κατὰ MDΔA: μετὰ KU **6** ὑπονοσθῇ A | αὐτοῦ ἰδίαν A **7** λέγουσιν MDΔA: λέγει KU | ἰσημερίας DΔA: ἰσημερίοις M ἰσημερινοῖς KU | τοῖς διαστ– *codd.*: χειμερινοῖς διαστ– K **8** τοῦ MDΔ: *om.* KUA.

9–10 S (*38r,21–22*)

11–13 MDΔUAS (*38r,22–23*) *haec cum praecedenti scholio continuat* S *sine lemmate* | *lemma* MDΔU: *om.* AS **11** *ante* πληρώσας *add.* περὶ τοῦ Ὠρίωνος UA **12** ἐξ ἐκείνων MDΔUA: ἀπ' ἐκείνου S | τὰ[2] *codd.*: καὶ τὰ S | ιβʹ *om.* S.

14–p. 237,6 MDΔUA **14** τὸ ν– DΔ: τὸν ν– M τὰ νότια UA | πάντων τῶν ἐν αὐτῷ MDΔA: πάντα αὐτὰ U *ut vid.* **15** ἐκ *codd.*: ἀπὸ A | ἐπισημοτέρου MU: –τάτου DΔA *fortasse rectius* **15–16** λαμπροτέρου MUA: –τάτου DΔ **16** *ante* ὑπὲρ *add.* καὶ D | ὑπὲρ ... νότια *seclusi* **17–18** ἐν βραχεῖ .... ἐπισήμων MDΔA: ὑπὸ δύο γὰρ ζωδίων ἐπισήμων ἐν βραχεῖ ὁ ποιητὴς U **18** τά τε νότια καὶ τὰ (*om.* U) βόρεια UA

ἐδήλωσε), καὶ ὅτι ὥσπερ εὐθεῖά τίς ἐστιν ἀπὸ τῆς ὄψεως τῆς Ἄρκτου μέχρι Ὠρίωνος. κατὰ γὰρ τὸν ποιητὴν ἀστρονομικῶς εἰπόντα (Σ 488, ε 274) „ἥ τ' αὐτοῦ στρέφεται καί τ' Ὠρίωνα δοκεύει“, εἰκότως ἐν τοῖς βορείοις ἐκείνης πρῶτον μνήμην ποιησάμενος, νῦν ἐν τοῖς νοτίοις τοῦ ἀντικειμένου μνημονεύει.

MDΔUA εἰς τὸ αὐτό: ἐπεὶ τὴν διὰ τῶν πόλων ἀγομένην περιφέρειαν τέμνων ἐφορᾶται, ἐν ἀμφοτέροις δὲ κείμενος τοῖς ἡμισφαιρίοις, ἐπέχει μοίρας κατὰ μῆκος ιζ΄, κατὰ δὲ πλάτος λ΄.

MUAS Ταύροιο τομῇ ὑποκέκλιται: μέμφοιτο ἄν τις Ἀράτῳ ὡς μὴ ἀκριβῶς προσσχόντι τῇ τοῦ Ὠρίωνος θέσει. οὐ γὰρ ὑπὸ τὸ διχοτόμημα τοῦ Ταύρου ἐστίν, ἀλλ' ἔτι τοῦ Ταύρου ἀνατολικώτερος. ἆρα οὖν ἐν πᾶσι τὴν ἀκρίβειαν ἐνδειξάμενος κατὰ τοῦτο μόνον ἐσφάλη; οὐδαμῶς. ἀλλά φαμεν ὅτι νῦν τομὴν λέγει τὴν περιγραφὴν καὶ τὸ διάμετρον χωρίον [τόν τε Ταῦρον καὶ τοὺς Διδύμους. ὑπὸ γὰρ τὸ τμῆμά ἐστιν

---

1 καὶ *om.* DΔ | εὐθεῖα DΔUA: εὐθεία M | τις *om.* U **2** μέχρι MDΔ: μέχρι τοῦ U μέχρις A **4** καί τ' MDΔ: καὶ τὸν UA | *post* εἰκότως *add.* καὶ αὐτὸς DΔ **5** ἐκείνης MUA: ἐκείνοις DΔ.

7–10 **MDΔUA** *lemma* M: ἄλλως DΔ *om.* UA **7** ἐπεὶ DΔU: ἐπὶ MA | τῶν πόλων DΔA: τῶν πολλῶν M τὸν πόλον U **8** ἐφορᾶται *scripsi*: φωρᾶται MA ὁρᾶται DΔU **9–10** μοίρας κατὰ μῆκος MDΔU: μοιρῶν μῆκος A.

11–p. 238,4 **MUAS** (*38ʳ, 23–30*) *lemma* M: Ταύροιο τομὴ (*sic*) S *om.* UA *qui hoc scholium cum praecedenti continuant* **12** ἂν *Maass*: δ' ἂν UA *om.* MS | τῷ Ἀρ– S | προσσχόντι M: προσχόντι US προσέχοντι A | τοῦ (*vel* τῇ ?) *om.* A **13–14** τοῦ Ταύρου ἐστίν MUA: ἐστὶ τοῦ T– S **14** ἀνατολικώτερος M: ἀνατολικώτερός ἐστιν UA ἀνατολικώτερον ἐστὶν S **14–16** ἆρα … φαμεν ὅτι *om.* S **14** ἆρα U: ἄρα MA **16** φαμὲν (*sic*) M: λέγομεν UA | νῦν MA: νῦν δὲ S *om.* U **17–18** καὶ τὸ διάμετρον … τοὺς Διδύμους *om.* S **17** διάμετρον MUA: διαμεμετρημένον Est, *unde Ald edd. Maass* **17–18** τόν τε Ταῦρον καὶ τοὺς Διδύμους MU: *om.* A **17–p. 238,1** τόν τε … Ὠρίων *seclusi, cf. infra p. 238, ll. 2–4* **18** τὸ MU: *om.* AS | τὸ τμῆμα τοῦτο *coni. Maass, sed haec delenda sunt potius quam emendanda*

ὁ Ὠρίων]. ὁ γὰρ πᾶς ζῳδιακὸς κύκλος ιβʹ τομὰς ἔχει, αἷς διείργεται ἕκαστον ζῴδιον. τομὴν οὖν λέγει τὸ διαχωρίζον μέρος τόν τε Ταῦρον καὶ τοὺς Διδύμους. ὑπὸ γὰρ τὸ τμῆμα τοῦτό ἐστιν ὁ Ὠρίων.

MDΔUA τὸ δὲ ὑποκέκλιται ὅτι οὐκ ἐξωρθωμένος ἐστίν, ἀλλὰ σχῆμα ἔχων κυνηγετικόν, καὶ ὥσπερ ἐπισπεύδων κυνηγετεῖ, ὡς συντρέχειν τῇ ἱστορίᾳ καὶ τὸν καταστερισμόν· ἔχει γὰρ τὴν δεξιὰν ὥσπερ ῥόπαλον ἐπιφέρουσαν, καὶ ἐπινεύει, διὰ τοῦ βλέμματος σπουδὴν

M ἐνδεικνύμενος. καὶ Ὅμηρος (λ 572-575)· ,,τὸν δὲ μετ' Ὠρίωνα πελώριον εἰσενόησα / θῆρας ὁμοῦ εἰλεῦντα κατ' ἀσφοδελὸν λειμῶνα, / τοὺς αὐτὸς κατέπεφνεν ἐν οἰοπόλοισιν ὄρεσσι, / χερσὶν ἔχων ῥόπαλον ... αἰὲν ἀαγές."

MDΔKUA ὑποκέκλιται αὐτὸς Ὠρίων: τοῦτον μὲν ὁ Ἡσίοδός φησι (fr. 148 a Merkelbach-West) Βρύλλης τῆς Μίνω καὶ Ποσειδῶνος εἶναι, δωρεὰν δὲ ἔχειν παρὰ τοῦ πατρὸς ὡς καὶ ἐπὶ τῶν κυμάτων πορεύεσθαι. ἐλθόντα δὲ εἰς Χίον Μερόπην τὴν Οἰνοπίωνος βιάσα-

---

1 τομὰς (–μᾶς M *ut vid.*) ἔχει MU: ἔχει τομᾶς (*sic ut vid.*) S: τομαῖς διαιρεῖται A **2** ἕκαστον MUS: ἑκάστου ἕκαστον A | τομὴν οὖν λέγει S: τομὴν δὲ λέγει U τὸ μὲν οὖν λέγει A τομὴ οὖν λέγεται M **3** *post* διαχωρίζον μέρος *add.* ἕκαστον τῶν ζωδίων UA | τόν τε Ταῦρον καὶ τοὺς Διδύμους MUS: *om.* A **4** ὑπὸ ..... Ὠρίων *om.* S | γὰρ τὸ τμῆμα τοῦτο M: γὰρ τὸ τμ– U τοιοῦτο γὰρ τὸ τμ– A.

5–9 **MDΔUA** (*hic* M, *post sch. 325* DΔUA) **5** τὸ δὲ DΔUA: τομῇ M | ὅτι οὐκ MDΔ: ἀντὶ τοῦ οὐκ A *om.* U | ἐξορθούμενος U **7** κυνηγετεῖ MU: κυνηγεῖ DΔ κυνηγετεῖν A **8** κατηστερισμὸν A **9** ἐπιφέρουσαν M: φέρουσαν DΔUA | ἐπινεύει MDΔ: ἐπιβλέπει U *ut vid.* A | βλέμματος M: νεύματος DΔUA **10** ἐνδυκν– D.

10–14 (*a* καὶ Ὅμ–) M **13** ὄρεσι M.

15–p. 239,11 MDΔKUA *lemma* M: ὑποκέκλιται (ἀπο– Δ) αὐτὸς DΔ ὠρίων K *om.* UA | *haec est Orionis fabula e Catasterismis (32) sumpta* **15–17** τοῦτον ... Βρύλλης *om.* U **15–16** μὲν ὁ M: καὶ DΔ μὲν A *om.* K **16–17** Βρύλλης MDΔK: βούλλης A Εὐρυάλης *rectius Catast. Hygin. Astr. 2,34 Schol. Germ. et Aratus Lat.* **17** Μίνω MDΔA: Μίνωος KU *ut vid.* **18** ὡς καὶ M: καὶ DΔ ὡς KUA **19** Οἰνωπίωνος A

σθαι οἰνωθέντα. τὸν δὲ Οἰνοπίωνα χαλεπήναντα αὐτὸν ἐκτυφλῶσαι. ἐλθόντα δὲ εἰς Λῆμνον ἀλητεύοντα Ἡφαίστῳ συμμῖξαι, ὃς αὐτὸν ἐλεήσας δίδωσιν αὐτῷ ποδηγέτην Κηδαλίωνα, ὃν λαβὼν ἐπὶ τῶν ὤμων ἔφερε τὰς ὁδοὺς σημαίνοντα. ἐλθὼν δὲ εἰς ἀνατολὰς καὶ Ἡλίῳ συμμίξας ὑγιάσθη, καὶ οὕτως ἐπὶ τὸν Οἰνοπίωνα ἐλθὼν τιμωρήσασθαι ἔμελλεν. ὁ δὲ μαθὼν ὑπὸ γῆν ἐκρύβη. ἀπελπίσας δὲ αὐτὸν .... εἰς Κρήτην ἦλθε καὶ τῇ Ἀρτέμιδι σύνθηρος ἦν. ἐπιχειρήσας οὖν καὶ ταύτην βιάσασθαι, ὑπὸ σκορπίου πληγεὶς ἐτελεύτησεν.

ἦρκται δὲ ὁ ποιητὴς ἀπὸ τούτου διότι συνεγγίζει MK μᾶλλον τοῖς βορείοις. ἔχει γὰρ τὴν ζώνην κατὰ τὸν ἰσημερινόν, καὶ τῇ δεξιᾷ καλαύροπα κρατῶν ἐφάπτεται τοῦ ζῳδιακοῦ, ἐπὶ δὲ τῆς ἀριστερᾶς δορὰν ἔχει ἐνάστερον.

323. — μ ὴ κ ε ῖ ν ο ν ὅ τ ι ς: τοῦτον τὸν Ὠρίωνα M^{mg}K ὅστις παρέρχεται μεσουρανοῦντα, μηκέτι προσδοκάτω ἐν τῇ νυκτὶ ἄλλα ἄστρα λαμπρότερα ἰδεῖν, ἐπειδὴ τούτου μεσουρανοῦντος τὰ λοιπὰ λαμπρὰ ἄστρα ὑπὸ γῆν

---

1 Οἰνωπίωνα A | χαλεπαίνοντα A **1–2** αὐτὸν ἐκτ– MKUA: ἐκτ– αὐτὸν DΔ **2** λίμνην A | ἀλιτεύοντα A **2–3** Ἡσφαίστω M **3** αὐτὸν A **4** Κηδαλλίωνα M **5** σημαίνοντα M: αὐτῶ σημαίνοντα DΔA αὐτῶ σημαίνων KU | ἀνατολὴν KU **6** τῶ ἡλίω DΔ | ὑγιάσθη MDΔ: ὑγιᾶσθαι K ὑγίασθαι U ἠγιάσθη καὶ ὑγιὴς ἐγένετο A **7** ἐλθὼν ... ἔμελλεν MDΔKU: ἦλθε τιμωρήσασθαι μέλλων A **8** αὐτὸν MKUA: *om.* DΔ αὐτὸν εὑρεῖν Est, *unde Ald edd.* ἀπελπίσας δὲ τὴν ἐκείνου ζήτησιν (εὕρεσιν *Sch. Nic. Ther. 15*) *Catast. lacunam indicavi* **9** οὖν MKUA: δὲ DΔ.

12–16 MK (*vide praef. p. XXIII*) **12** ἦρκται ... τούτου M: ἐπικέκλιται δὲ (*v. 322*) K **13–14** τὸν ἰσημερινὸν M: τὴν ἰσημερινὴν K **14** κρατῶν M^{pc}: τυχὼν M^{ac} λαβὼν K **15** δορὰν ἔχει M: ἔχ– δ– K **15–16** ἐνάστερον M: ἀνάστερον K *fortasse recte* ἐννεάστερον *Maass.*

17–p. 240,2 M (*mg. inter. sed sub signo alphabetico*) K *lemma* M: μὴ κεῖνον K **20** λαμπρὰ *om.* K | ὑπὸ γῆν MK: ὑπὲρ γῆς *Maass* (*cf. infra sch. 325 ad p. 241, l. 1*) *sed hoc scholium edere, non corrigere debemus*

εἴσιν, οἷον ὁ Ταῦρος, οἱ Δίδυμοι καὶ ὁ Καρκίνος, ὁ Κύων καὶ ὁ Ἡνίοχος.

MKS 324. — ὑ ψ ο ῦ π ε π τ η ῶ τ α : ἐν οὐρανῷ σφόδρα ἐκτεταμένος ἐστὶν ὁ Ὠρίων, ὡς καὶ ζῶν ἐκτράπελος εἶναι ἐλέγετο. λέγει γὰρ ὁ ποιητής (λ 311) „ἐννέωροι γάρ τοί γε καὶ ἐννεαπήχεες ἦσαν, ... ἀτὰρ μῆκος ... ἐννεόργυιοι". ὕστερον δὲ ἀποφαίνεται ἐλάττους Ὠρίω- MK νος, ἐν οἷς φησι (λ 310) „μετά γε κλυτὸν Ὠρίωνα". ὅτι δὲ ἔχει σφόδρα λαμπροὺς ἀστέρας, καὶ μάλιστα μὲν τοὺς τὸ ζῶμα ἀποτελοῦντας, ἑτέρους δὲ τοὺς περὶ ⟨τοὺς⟩ ἱμάντας καὶ ⟨τοὺς τὸ⟩ ξίφος μιμουμένους, καὶ M δύο λαμπροὺς τοὺς ἐπ' ἄκρων ποδῶν, φησὶ καὶ Εὐφορίων (fr. 104 Powell)· „οὐδὲ νεογνοὶ παῖδες ἐδιζήσαντο πελώριον Ὠρίωνα".

MDΔUA 325. — ο ὐ ρ α ν ὸ ν ε ἰ σ α ν ι δ ώ ν : ὁ ἀναβλέψας, φησίν, ἐν καθαρᾷ καὶ ἀσελήνῳ νυκτὶ εἰς τὸν οὐρανὸν οὐκ ἂν εὕροι ἄλλα λαμπρότερα τοῦ Ὠρίωνος ἄστρα. περιέχεται γὰρ εὐμεγέθης. ἢ τάχα τοῦτο εἶπεν ἐπειδὴ μεσουρανοῦντος τοῦ Ὠρίωνος τὰ λαμπρότατα τῶν

---

1 *et* **2** καὶ *bis om.* K **2** ὁ *ante* Ἡν- *supra lineam add.* K | *post* Ἡν- *add.* ὁ Περσεύς, ἡ Ἀνδρομέδα K (*cf. sch. 325*) | *hoc scholium in* A *deesse contra Maassium moneo.*

3–14 MK (*usque ad* ποδῶν *l. 12*) **S** (*38^r,30–33 usque ad* ἀποφαίνεται *l. 7*) *lemma* M: ὑψοῦ KS **3** *post* οὐρανῷ *dist.* KS **4** ἐκτ- ἐστὶν M: ἐστιν ἐκτ- KS **4–5** ὡς ... ἐλέγετο *om.* S **4** ὡς M: ὃς K **6** γε MS: τε K | ἐννεαπήχεες M: ἐννεάπηχυς K ἐννεάπηχες S | ἀτὰρ MK: αὖτις S **7** ἐννεόργυιοι M: ἐννεόργιοι K *ut vid.* ἐνεόργοιο S^{pc} *de* S^{ac} *non liquet* | δὲ *om.* S | ἀποφαίνεται MK^{sl}: φαίνεται K ὑποφαίνεται S *qui hic desinit* | ἐλάττους M: ἐλάττω K **8** οἷς M: αἷς K **9** ὅτι δὲ ἔχει M: ἔχει δὲ K **10** περὶ M: *om.* K **11** τοὺς *add. Maass* | τοὺς τὸ *add. Maass* | λαμπροὺς M: *om.* K **12** *post* ποδῶν *add.* καὶ ἕνα τὸν ἐπὶ κεφαλῆς K *qui hic desinit* **12–13** Εὐφορίων: *fragmentum hoc uno scholio notum.*

15–p. 250,5 MDΔUA *praebent post p. 239, l. 11* DΔUA *lemma* MDΔUA **16** πανσελήνῳ A **17** τοῦ *om.* A **18** περιέχεται γὰρ εὐμεγέθης M: *non in* DΔUA *fortasse delendum* | τάχα M: *non in* DΔUA **19** τοῦ *om.* A **19–p. 241,1** τὰ λαμπρότατα τῶν ἄστρ- MDΔA: τὰ τῶν ἄστρων λαμπρότερα U

ἄστρων ὑπὲρ γῆς ὁρᾶται, Ταῦρος, Ἡνίοχος, Δίδυμοι, Περσεύς, Ἀνδρομέδα, Κασσιέπεια. τὸ γὰρ ὑ ψ ο ῦ π ε π τ η ῶ τ α ἀντὶ τοῦ μεσουρανοῦντα. τὸ δὲ π α ρ έ ρ χ ε τ α ι τοιοῦτόν ἐστιν· ὅστις αὐτὸν παρέρχεται, μὴ νομίσῃ ἄλλα αὐτοῦ λαμπρότερα θεάσασθαι.

326. — τ ο ῖ ό ς ο ἱ κ α ὶ φ ρ ο υ ρ ό ς: κάτω τοῦ Ὠρίωνος νοτιώτερός ἐστιν ὁ Κύων ὁ Σείριος καλούμενος, ὃν Ὠρίωνος κύνα λέγουσι κατ' ἐπίκλησιν, ὥς φησιν Ὅμηρος (X 29-30)· „ὅν τε κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι. / λαμπρότατος μὲν ὅ γ' ἐστί". τὸ δὲ φ ρ ο υ ρ ὸ ς ὅτι κυνηγῷ ὄντι τῷ Ὠρίωνι συνακολουθεῖ ὁ Κύων καί ἐστιν αὐτοῦ φύλαξ. MDΔKUA

327. — ἀ μ φ ο τ έ ρ ο ι σ ι Κ ύ ω ν: ἤτοι τοῖς ὀπισθίοις· ἐπ' αὐτῶν γὰρ βεβηκώς ἐστιν. ἢ ἀ μ φ ο τ έ ρ ο ι σ ι τοῖς ἐμπροσθίοις, ὃ καὶ μᾶλλον. τὰ γὰρ σφυρὰ αὐτοῦ [τῶν ποδῶν νότια], ἐφ' ὧν βέβηκεν, ἀφανῆ ἡμῖν καὶ οὐ πάνυ εὐσύνοπτά ἐστι. διὰ τοῦτο ἀ μ φ ο τ έ- MDΔKUA

---

1 ἄστρων DΔUA: ἀστέρων M | γῆς MDΔ: γῆν UA *cf. supra p. 239, ll. 20sqq.* | ὁρᾶται MUA: ὁρῶνται DΔ **2** Περσεὺς Ἀνδρομέδα M (*cf.* K *supra ad p. 240, l. 2*): *om.* DΔUA | τὸ γὰρ MU: τὸ δὲ DΔ τὰ γὰρ A **3** ἀντὶ τοῦ M: *non in* DΔU A | μεσουρανοῦντος A **4** τοιοῦτον ... παρέρχεται *om.* D | τοιοῦτόν ἐστιν MΔA: *om.* U | αὐτὸν MUA: αὐτοῦ Δ **5** *post* νομίσῃ (*sic*) *add.* φησὶ U | λαμπρότερα MDΔU: κρείττω παρέρχεται (*sic*) A | *hinc ad p. 238, ll. 5sqq. transeunt* DΔUA.

6–12 MDΔKUA *lemma* M: τοῖός τοι καὶ φρ– DΔ τοῖος οἱ K τοῖος καὶ φρ– U *om.* A **6** κάτω *om.* K | ὁ καὶ Σ– K **8** ὃν ... ἐπίκλησιν *codd.*: ὃν κατ' ἐπίκλησιν Ὠρίωνος κῦνα καλοῦσιν K | λέγουσι DΔUA: καλοῦσι (–ιν K) MK *fortasse recte* **9** ὅν τε *codd.*: ὅτε U **10** λαμπρότατος μὲν ὅγ' ἐστί M: *om.* DΔKUA *fortasse recte* **11** ὁ *om.* K **12** καί.. φύλαξ *om.* U.

13–p. 242,5 MDΔKUA *lemma* M: ἀμφοτέροισι DΔ φαίνεται ἀμφοτέροισι U φαίνεται ποσὶν ἀμφοτέροισιν A *om.* K **14** γὰρ *om.* U | βεβηκὸς A **14–15** ἢ ἀμφοτέροισι A: ἀμφοτέροισι M ἀμφοτέροις DΔ ἢ K ἀμφοτέρωθεν U **15** ὃ καὶ μᾶλλον MUA: ὃ καὶ κρεῖττον K *om.* DΔ | γὰρ *codd.*: δὲ D **16** τῶν ποδῶν νότια *seclusi* | νότια *post* τῶν ποδῶν MU: νότια ὄντα *post* βέβηκε DΔ νότια *om.* KA | *post* ποδῶν *add.* τῶν ὀπισθίων A | *post* βέβηκεν *add.* ἤτοι τῶν ὀπισθίων K **17** ἐστι M: ἐστιν K εἰσι DΔUA

ρ ο ι ς λέγει τοῖς ἐμπροσθίοις καὶ προδήλοις μᾶλλον διὰ τὴν κατάληψιν. νοείσθω τοίνυν τὸ β ε β η κ ὼ ς οἷον ὁρμῶν καὶ ἀνατέλλων τοῖς ἐμπροσθίοις ποσί. μετὰ γὰρ τῆς κεφαλῆς οἱ ἐμπρόσθιοι πόδες ἀνατέλλουσιν.

MDΔKUA 328. — π ο ι κ ί λ ο ς: ποικιλίαν ἀστέρων ἐστὶν ἰδεῖν ὅταν ἄστρον τι ἔχῃ καὶ ἀμυδροὺς καὶ λαμπροὺς ἀστέρας παραλλήλους. οὕτω γὰρ ποικιλία λέγεται. τὸ δὲ παραλλήλους εἴπομεν ὅτι οὐ δεῖ εἶναι ὁμοῦ μόνους λαμπρούς, οὔτε τὸ ἀνάπαλιν, ἀλλὰ δεῖ κρᾶσιν εἶναί τινα. ἔστιν οὖν ὁ Κύων πεποικιλμένος ἐξ ὧν καὶ αὐτὸς ἐπιφέρει· ἀ λ λ ᾽ ο ὐ π ά ν τ α π ε φ α σ μ έ ν ο ς. οὐ γὰρ ἐκ μόνων συγκείμενος λαμπρῶν ἐστιν, ἀλλ᾽ ἔχων καί τινας ἀμυδροὺς εἰκότως ποικίλος ἐστίν. ἢ τὸ

---

1 καὶ MDΔA: ὡς K U *mutil.* **1–2** προδήλοις μᾶλλον διὰ τὴν κατάληψιν MK: πρόδηλον μᾶλλον τὴν κατάληψιν δίδωσι A δήλην μᾶλλον ποιεῖται τὴν καταλ– DΔ *in* U *mutilo haec sola vestigia dispicio*: . . .]σι (?) διὰ τὴν κατάληψιν [. . .] προσθεν (?) μᾶλλον. νοείσθω κ. τ. λ. **2** βεβηκὸς A **3** ποσί *om.* DΔ **4–5** οἱ ἐμπρ– π– ἀνατ– *codd.*: οἱ π– ἀνατ– οἱ ἐμπρ– A **4** ἐμπρόσθιοι MDΔUA: ἔμπροσθεν K | *praebent deinde* UA *p. 245, ll. 8–11.*

6–p. 243,6 MDΔKUA *lemma* MDΔKU ποικίλως οὐ μὲν πάντα πεφασμένος A **6** *ante* ποκιλίαν *add.* πρόκειται ὅτι A (*ex errore ortum, cf. infra ad p. 245, l. 11*) **6–7** ποικιλίαν . . . ἰδεῖν MDΔU (ἐστὶν *om.*) A: ἐκ τῶν ἀστέρων ἐστιν (ἰδεῖν *om.*) K **7** ὅταν ἄστρον τι ἔχῃ *scripsi*: ὅτε ἄστρον τί ἔχον M ὅταν ἄστρον ἔχῃ D ὅτε ἄστρον ἔχει Δ ἀστέρας ἔχει (ἀστέρας *inferius omisso*) K ὅτι ἄστρον ἐστί τι ἔχον U ἔχει γὰρ A **8–11** οὕτω γὰρ . . . εἶναί τινα *om.* K **9** οὐ δεῖ εἶναι ὁμοῦ μόνους M: ὁμοῦ οὐ δεῖ δύο εἶναι DΔ οὐ δεῖ μόνον εἶναι U οὐ δεῖ εἶναι μόνους A **10** οὔτε *codd.*: οὐδὲ U **10** δεῖ MDΔ: δὴ A *om.* U **11** ἔστιν οὖν MKUA: οἷός ἐστιν DΔ | ὁ Κύων *om.* K | πεποικιλμένος *codd.*: ποικίλος K | ἐξ ὧν MKUA: διὰ τοῦτο DΔ **12** πάντη K **13** ἐκ . . . ἐστιν *codd.*: ἐκ μόνων λαμπρῶν σύγκειται K | λαμπρῶν MΔKA: λαμπρὸς DU | ἐστὶν MDΔU: ἀστέρων A **14** ἔχων MDΔUA: ἔχει K | εἰκότως ποικίλος ἐστίν *om.* K | *post* εἰκότως *add.* οὖν A | ποικίλως A | ἢ τὸ *scripsi*: ἢ ὁ MDΔA ἢ ὅτι K ἢ U *edd.*

ποικίλος διὰ τὸν ἐπ' ἄκρας αὐτοῦ τῆς γένυος ἀστέρα, ὃς ἰδίως Σείριος καλεῖται παρ' ὅσον σέσηρεν αὐτοῦ τὸ φῶς, καί ἐστι πορφυρίζων ἐκ τοῦ παλμοῦ τῆς λαμπηδόνος, καὶ κατὰ τοῦτο οὖν ποικίλος, κατὰ τὰς τοῦ ἀστέρος μαρμαρυγὰς ὥσπερ πορφυριζούσας.

MDΔUA 329. — γαστέρα κυάνεος περιτέλλεται: οὐδὲ γὰρ οἱ τὴν γαστέρα αὐτοῦ ἀποτελοῦντες ἀστέρες σφόδρα λαμπροί εἰσιν.

MDΔUA 330. — ὅς ῥα μάλιστα: ὅστις. οὗτος ὁ ἀστὴρ ὁ παρακείμενος αὐτοῦ τῇ γένυι ὀξέα καὶ σφόδρα στιλβόντως τὸ φῶς ἀποπέμπει. σειριάει οὖν ἀντὶ τοῦ τὸ φῶς ἀφίησι σεσηρότως. οὐ γὰρ ἐν ἑαυτῷ πεπυκνωμένην ἔχει ὁ ἀστὴρ τὴν λαμπηδόνα, ἀλλὰ διαχάσκουσαν καὶ ὡς ἐν παλμῷ οὖσαν.

M ἢ ὀξέα σειριάει, πύκνας καὶ ἀλλοχρόους ἀφίησι λαμπηδόνας, ποικίλα διαδεικνύμενος χρώματα.

M 331. — καί μιν καλέουσιν: ἀντὶ τοῦ „καὶ δὴ ἐκεῖνον τὸν οὕτω λάμποντα ἀστέρα Σείριόν φασι", παρὰ τὸ φῶς αὐτοῦ καὶ τὰ προειρημένα.

2sqq. *sic scholii finem facit* K: ὃς ἰδίως δς (*sic ut vid.*) σείριος καλεῖται παρόσον σεσειρότως καὶ οὐ πεπυκνωμένος τὸ φῶς ἐκπέμπει **3** πορφυρίζον U **4** καὶ *om.* DΔUA **5** τὰς τοῦ ἀστέρος μαρμαρυγὰς MDΔ: τὰς ἀστερομαρμαρυγὰς UA.

7–9 MDΔUA *lemma* M: γαστέρα κυάνεος DΔU *om.* A **8** οὐδὲ M: οὐ DΔUA **8–9** οὐ γὰρ σφόδρα λαμπροὶ οἱ τὴν γαστέρα αὐτοῦ ἀποτελοῦντες U **8** αὐτοῦ *om.* A **9** λαμπροί εἰσιν M: εἰσὶ λαμπροί DΔ εἰσι *om.* A.

10–15 MDΔUA *lemma* MDΔ: ἀστέρι βέβληται U *om.* A **10** *post* ὅστις *dist. Maass* **11** ὁ DΔUA: *om.* M | παρακείμενος UA: περικ– MDΔ | τῇ γένυι DΔA: τὴν γένυν MU | καὶ σφόδρα *om.* DΔ **12** στιλβόντως MUA: στίλβων DΔ | ἀποπέμπει MDΔ: ἐκπέμπει U ἀποπέμπων A **13** τὸ MUA: *om.* DΔ | σεσηρότως MDΔA: σεσηρὼς U | ἑαυτῶι MDΔA: αὐτῷ U **14** ἔχει *om.* D **15** καὶ *om.* U | ὡς *om.* DΔ | παλμῷ MDΔA: πλεονασμῷ U | οὖσα Δ.

16–17 M 17 χρώματα *Maass*: χρῶμα M.

18–20 M

MDΔKUA 332. — ἅ μ' ἠ ε λ ί ῳ ἀ ν ι ό ν τ ι: συνανατέλλει τῷ ἡλίῳ ὁ Σείριος ὅτε γίνεται εἰς τὸν θερινὸν τροπικὸν ἐν τῷ Καρκίνῳ, περὶ τὸν 'Επιφὶ μῆνα, ὅς ἐστι κατὰ 'Ρωμαίους 'Ιούλιος, ὅτε καὶ „φέρει πυρετὸν δειλοῖσι βροτοῖσιν" (X 31). τὸ τηνικαῦτα, σφοδροῦ γινομένου τοῦ καύματος, πάντες οἱ πρόσφοροι καρποὶ πέπειροι γίνονται. φησὶ δὲ ὅτι οὐκέτι ἐκεῖνον τὸν Σείριον (ἑλληνισμός· οὐκέτι ἐκείνου ἀνιόντος ἅμα ἡλίῳ) αἱ ἄρουραι ψεύδονται ἀ ν α λ δ έ α φ υ λ λ ι ό ω σ α ι (333), ἀναυξῆ θάλλουσαι, ἀλλὰ τὰ ἰσχυρὰ καὶ ἀντέχοντα πρὸς τὸ καῦμα τῶν καρπῶν πέπειρα γίνονται, ἢ τὰ ἐξασθενήσαντα διαφθείρει.

M τὸ δὲ κ ε ί ν ο υ κ α ὶ κ α τ ι ό ν τ ο ς ἀ κ ο ύ ο μ ε ν (336) ἀντὶ τοῦ „Σειρίου οὐ μόνον τῆς ἀνατολῆς διὰ τὸ καῦμα καὶ τὸν πολὺν ὑπ' αὐτοῦ γινόμενον πυρετὸν αἴσθησιν λαμβάνομεν, ἀλλὰ καὶ δύνοντος αὐτοῦ

1–12 MDΔKUA (*post* ψεύδονται *l. 9 novi scholii initium faciunt* MDΔKUA; *recte coniunxit* Est, *unde Ald*) *lemma* K: ἅμ' ἠελίοιο (*sic*) ἀνιόντι M: ἅμ' ἠελίω DΔ καί μιν καλέουσιν (*331*) U *om.* A **2** ὅποτε DΔ | γίνεται *om.* U | εἰς τὸν KUA: ἐχτὸ M περὶ τὸν DΔ **3** ἐν τῷ K– *om.* K **3** περὶ τῶ . . μηνὶ K **4** κατὰ 'Ρ– *om.* Δ | 'Ιούνιος K | ὅτε καὶ *codd.*: ὅτι U **5** σφοδροτέρου D **5–6** γινομένου MDA: γεν– ΔKU **6** οἱ *om.* U **7–8** φησὶ ... ἑλληνισμὸς MUA: ἄλλως K ἐκεῖνον.. οὐκέτι *om.* DΔ **7** δὲ MDΔU: γὰρ A **8** ἐκείνου MU: τοῦ σειρίου DΔ κείνου KA | ἅμα ἡλίω U: ἅμα ἡλίου MA ἅμα τῶ ἡλίω K *om.* DΔ **9** αἱ ἄρ– ψεύδ– MDΔ: ψεύδ– αἱ ἄρ– K ἄρ– ψεύδ– U ψεύδ– ἄρ– A | ἀναλδέα φυλλιόωσαι *ut lemma* MDΔ (φιλλ–) A: ἀναλδέα K φυταλιαὶ U **10** ἀναυξῆ θάλλουσαι *codd.*: ἀναλδῆ θάλλουσαι ἀναυξῆ K | τὰ *codd.*: καὶ U | ἀντέχοντα MK: ἀνέχ– DΔUA **11** πρὸς *codd.*: εἰς U | τῶν καρπῶν DΔKA: τὸν καρπὸν MU | πέπειρα γίνονται MK: πεπαίνει DΔ πέπειρα ποιεῖ UA| *post* γίνονται *finem scholii facit* K.

13–p. 245,3 M *in* **DΔ** *haec* ἀ κ ο ύ ο μ ε ν δὲ ἀντὶ τοῦ αἰσθανόμεθα. χειμάζοντος γὰρ αὐτοῦ ἀντιλαμβανόμεθα ὅταν ἑῴαν αὐτοῦ (*sic*) ποιῆται δύσιν; *eadem fere in* **A** ἀκούομεν ἀντὶ τοῦ αἰσθανόμεθα. ἀνατέλλοντος γὰρ αὐτοῦ, ἀντιλαμβανόμεθα καὶ ὅτε τροπὴν ποιεῖται καὶ δύσιν πάλιν γινώσκομεν; *in* U χειμάζοντος γὰρ αὐτοῦ ἀντιλαμβανόμεθα ; *in* K *nihil* **13** δὲ κείνου *Maass ex Arato*: δ' ἐκείνου M.

τῆς ψύξεως αἰσθανόμεθα". ἑῷος γὰρ δύεται ὁ Σείριος ὅτε γίνεται ὁ ἥλιος ἐν τῷ χειμερινῷ τροπικῷ ἐν τῷ Αἰγοκέρωτι, ὅτε σφόδρα ἐστὶ χείμων.

τὸ δὲ ἔ ρ ρ ω σ ε ν εὐερνέστερα καὶ ἰσχυρότερα ἐποίησεν. M

336. — ο ἱ δ ὲ δ ὴ ἄ λ λ ο ι : ἐπειδὴ οὗτος ὁ ἀστήρ ἐστιν ἐν παντὶ τῷ Κυνὶ ἐπισημότατος, φησὶν ὅτι καὶ ἀνατολῆς καὶ δύσεως αὐτοῦ αἰσθανόμεθα. οἱ δὲ ἄλλοι οἱ τὸ λοιπὸν αὐτοῦ ἀποπληροῦντες σῶμα ἀστέρες ἐλαφροὶ καὶ ἀνεπαχθεῖς εἰσιν ἡμῖν. ὑπὲρ δὲ τοῦ ἀποπληροῦν αὐτοῦ τὸ σῶμά φησι π ρ ό σ κ ε ι ν τ α ι. MDΔUA

ο ἱ δ ὲ δ ὴ ἄ λ λ ο ι : οἱ δὲ λοιποὶ ἀστέρες τοῦ Κυνὸς οἱ διατυποῦντες αὐτὸν ἀμαυρότεροι καὶ μικρότεροι ἢ ἀφαυρότεροι ἢ ἐλαφροὶ καὶ ἀνεπαχθεῖς ἡμῖν εἰσιν. διὰ δὲ τὸ πληροῦν τὸ σῶμα αὐτοῦ π ρ ό σ κ ε ι ν τ α ι. S

338. — π ο σ σ ὶ ν δ' Ὠ ρ ί ω ν ο ς : ε ὖ καὶ προσηκόντως ἔχουσα ἡ τῶν ἀστέρων θέσις. τῷ γὰρ κυνηγῷ εἰκότως ὁ Κύων φρουρὸς πρόσκειται, καὶ ὁ ἐν τῇ ἄγρᾳ Λαγωὸς παρὰ πόδας τοῦ κυνηγοῦ. MDΔKUAS

4–5 M

6–11 MDΔUA *lemma* MDΔ: κείνου καὶ κατιόντος ἀκούομεν U *om.* A **7** ἐπισημότατος *edd*: –ότερος MUA –ότατα DΔ **8–11** *huius scholii finem (ab* οἱ δὲ ἄλλοι*) praebent* UA *etiam supra post p. 242, l. 5* (U[1]A[1]) **9** οἱ *ante* τὸ λ– MDΔA: ὅ U[1] *ut vid. om.* UA[1] | αὐτοῦ *om.* UU[1] | ἀποπληροῦντες MUA A[1]: πληροῦντες DΔ ἀναπληροῦντες U[1] **10** *post* εἰσιν ἡμῖν *scholium concludunt* DΔAA[1] | δὲ *om.* U[1] | τοῦ M: τὸ UU[1] **11** αὐτοῦ MU: *om.* U[1] | τὸ σῶμά φησι M: τὸ σῶμα U φασὶ τὸ σῶμα U[1] | πρόσκεινται M: πρόσκειται UU[1] (*cf. initium sch. 328 in* A) περίκεινται *Maass ex Arato 337.*

12–15 S (*38[r],33–37*) **15** πρόσκεινται *scripsi*: πρόκεινται S.

16–19 MDΔKUAS (*38[r],37–40*) *in mg.* περὶ τοῦ λαγωοῦ M | *lemma* MDΔKUS (ποσσὶ MDK ποσὶν Δ ποσὶ US): λαγωός A **16–17** εὖ καὶ πρ– ἔχουσα MDΔUA: προσηκόντως ἐχρήσατο K εὖ ἐστιν ἔχουσα S **17** ἡ τῶν ἀστέρων (ἄστρων A) θέσις MDΔUAS: τῇ τῶν ἀστέρων θέσει K **18** εἰκότως *om.* S | φρουρὸς *om.* U | πρόσκειται M[sl]DΔU: πρόκειται MK παράκειται S *om.* A | ἐν τῇ ἄγρᾳ *om.* A **19** παρὰ *codd.*: περὶ D | τοὺς π– DΔ | τοῦ *om.* S.

S λαγωὸς οὗτος ἐστὶν ἐν τῇ καλουμένῃ γωγία. διὰ δὲ τὴν ταχύτητα τοῦ ζωδίου ὁ Ἑρμῆς δοκεῖ θεῖναι αὐτὸν ἐν τοῖς ἄστροις. μόνος δὲ τῶν τετραπόδων, τὰ μέν, τίκτει τὰ δὲ ἔχει καθά φησιν ὁ Ἀριστοτέλης. ἔχει δὲ ἀστέρα ἐφ' ἑκατέρων τῶν ὤτων α'. ἐπὶ τοῦ σώματος β'. ἐπὶ τῆς ῥάχεως α'. ἐφ' ἑκατέρων τῶν ποδῶν β' πάντας ς'.

MDΔUA ἄ λ λ ω ς: ὑπὸ δὲ τοῖς ποσὶ τοῦ Ὠρίωνος Λαγωὸς ὡσὰν διωκόμενος ὑπὸ τοῦ Κυνὸς προανατέλλει αὐτοῦ. παράλληλα τὰ ἄστρα.

MDΔUA κατηστερίσθαι δὲ αὐτὸν λέγουσιν ὑφ' Ἑρμοῦ διὰ τὴν ταχυτῆτα καὶ τὴν πολυγονίαν. μόνῳ δὲ τούτῳ ἐδόθη κύειν πλείονα, ὧν τὰ μὲν τίκτει, τὰ δὲ ἔχει ἐν τῇ κοιλίᾳ.

MDΔUA τὸ δὲ ἐ μ μ ε ν ὲ ς δ ι ώ κ ε τ α ι (339) εἶπε πρὸς τὸ ποιητικόν. καὶ χαριεντίζεται ἅμα καὶ πρὸς τὸ διηνεκὲς τῆς φύσεως τοῦ κόσμου καὶ τὸ εἰς ἀεὶ τοῦ οὐρανοῦ.

MDΔUA φησὶ δέ „ὁ Λαγωὸς ἀδιαλείπτως διώκεται".

MDΔKUA τὸ δὲ ἐ μ μ ε ν ὲ ς διηνεκῶς. σημαίνει δὲ καὶ τὸ αἰώνιον τοῦ κόσμου καὶ ἄφθαρτον.

1–6 S *(38^r,40–46) Leporis fabula (Catast. 34)* | **1** γωγία *sic* S: κυνηγία *Catast.* **6** β' S^{pc}: $α^1$ S^{ac} *ut vid.*

7–9 MDΔUA ἄλλως MDΔ: *om.* UA **7** λαγωὸς MUA: ἐστι λαγ– D ἔστιν ὁ λαγ– Δ **8** διωκ– ὑπὸ τοῦ κ– MUA: ὑπὸ τοῦ κ– διωκ– DΔ | κυνὸς M^{sl}DΔUA: κυνηγοῦ M | προανατέλλει αὐτοῦ *scripsi*: προανατέλλονται αὐτοῦ M προανατέλλοντα αὐτοῦ DΔ προανατέλλονται (*vel* –τα) αὐτοῦ U οὗ προανατέλλονται A **9** παράλληλα τὰ *scripsi*: παραλλήλου M παρέχῃ τὰ D παρέχει τὰ D^{sl}Δ παράλληλα U παραλλήλως τὰ A.

10–13 MDΔUA *cf. Catast. 34* **10** αὐτὸν λέγουσιν MUA: λέγει D λέγεται Δ | ὑφ' MUA: ὑπὸ τοῦ DΔ **11** δὲ MUA: γὰρ DΔ **12** πλείονα DΔUA *Catast.*: πολλὰ M.

14–16 MDΔUA 14 τὸ δὲ M: *om.* DΔUA | ἐμμενὲς διώκεται M: διώκεται DΔ ἐμμενὲς ἤματα πάντα UA **14–15** εἶπε πρὸς τὸ ποιητικόν M: ποιητικῶς DΔ πρὸς τὸ ποιητικὸν UA **15** καὶ χαρ– MUA: καὶ *om.* DΔ (ποιητικῶς χαριεντίζεται Δ) **16** *post* ἀεὶ *add.* τοῦ κόσμου καὶ M: *non in* DΔUA | *post* οὐρανοῦ *add.* κίνημα DΔ διαμένειν A.

17 MDΔUA ὁ Λαγ– MA: ὅτι ὁ Λαγ– DΔU.

18–19 MDΔKUA 18 τὸ ... διηνεκῶς *om.* DΔ | *ante* διηνεκῶς *add.* ἀντὶ τοῦ K | καὶ M: διὰ τοῦτο (τούτου Δ) DΔ *om.* KAU *evan.*

τὸ δὲ μετιόντι (340) διώκοντι κατὰ τὴν γῆν τὸν Λαγωόν. ἔχει γὰρ καὶ τὸ στόμα σεσηρός. MKS

341. — καί μιν κατιόντα διώκει: ὥσπερ ἐπικαταφερόμενός ἐστιν εἰς τὸν Λαγωὸν ὁ Κύων. MDΔKUA

τὸ δὲ μετιόντι οὐ καλῶς προσέθηκεν, ἐπειδὴ τὰ ὕστερον ἀνατέλλοντα πρότερα δύνει τῶν βορειοτάτων, μάλιστα τὰ πρὸς τὸν νότον κείμενα. καὶ ὁ Τοξότης ἐπανατέλλων τῇ Λύρᾳ πρότερος αὐτῆς ἐπὶ τὴν δύσιν παραγίνεται. MK

342. — ἡ δὲ Κυνὸς μεγάλοιο: τὸ μεγάλοιο ὡς πρὸς ἀντιδιαστολὴν τοῦ μικροῦ Κυνός, ὃς καλεῖται Προκύων διὰ τὸ καὶ πρὸ τοῦ Σειρίου ἀνατέλλειν, περὶ ὃν [μικρὸν Κύνα] ἐπίκειται καὶ ὁ Γαλαξίας. MDΔKUAS

αὕτη δὲ ἡ Ἀργὼ διὰ τὴν Ἀθηνᾶν ἔχει τὴν ἐν ἄστροις θέσιν. πρώτη γὰρ ναῦς αὐτὴ κατεσκευάσθη καὶ δι' αὐτῆς ἀρχιτεκτονήθη. φονήεσσα δὲ γενομένη. πρώτη τὸ πέλαγος διῆρεν ἄβατον θνητοῖς ἐπιγιγνομένοις. παράδειγμα οὖσα. S

---

19 τοῦ κ– καὶ ἄφθ– *codd.*: καὶ ἄφθ– τοῦ κ– U | *post* ἄφθαρτον *add.* διὰ παντός K.

1–2 MKS (*38ʳ,46–47*) **1** τὸ δὲ μετ– MK: μετ– δὲ S | ἀντὶ τοῦ διώκοντι S **1–2** κατὰ ... λαγωόν MS: *om.* K **2** γὰρ καὶ MK: δὲ S | σεσειρός K.

3–4 MDΔKUA *lemma* MA: καί μιν κατιόντα DΔ καί μιν K *om.* U **4** ἐπικαταφ– MDΔK: δὲ καταφ– U καταφ– A | ἐστιν *post* ἐπικαταφ– MK: *post* λαγωὸν DΔUA.

5–9 MK μετιόντι K: –ντα M **6** πρότερα M: πρῶτα K **6–7** βορειοτάτων M: –τέρων K **7** τὸν M: *om.* K.

10–13 MDΔKUAS (*38ʳ,47–52*) περὶ τῆς Ἀργῶ (*sic; fortasse* αἰγὸς *ante correctionem*) M *in mg.* | *lemma* MS: ἡ δὲ κυνὸς DΔA *om.* K U *mutil.* **10–11** τὸ μεγάλοιο M: τοῦ μεγάλου S τὸ δὲ κυνὸς μεγάλοιο K *om.* DΔUA **11** ὡς πρὸς *codd.*: κατ' S | μικροῦ MKS: μακροῦ DΔ μεγάλου UA | κυνός *om.* K | *post* κυνός *add.* ἡ ἀργὼ φέρεται S **12** καὶ *om.* DΔ **12–13** *post* ἀνατέλλειν *add.* ὀλίγον γὰρ πρὸ αὐτοῦ ἀνατέλλει ἀνατέλλει (*sic*) S **13** μικρὸν κύνα *post* περὶ ὃν MK: εἰς (περὶ U) τὸν μικρὸν κύνα *post* γαλαξίας DΔUA *om.* S *seclusi* | καὶ *om.* S.

14–18 S (*38ʳ,52–56*) *Argus fabula* (*Catast. 35*) **16** φονήεσσα *sic* S: φων– *Catast.*

MDΔKUAS ὁ δὲ νοῦς· ὄπισθεν δὲ τοῦ Σειρίου Κυνός ἐστιν ἡ Ἀργώ, καὶ ἐπιψαύει τῆς οὐραίας αὐτοῦ. αὕτη δὲ ἡμίτομος φαίνεται ἐν τῷ οὐρανῷ, ἤτοι οὕτως ἔχουσα θέσεως, ἢ ὅτι τὰ περὶ τὴν πρῷράν ἐστι προνενευκότα καὶ προπλέοντα, εἴγε ἐν τῇ Ὀρθογραφίᾳ περὶ τοῦ προκειμένου ῑ τῶ ω̄ λέγων Ἡρωδιανὸς (II, 1 p. 410 Lentz) παρετυμολογεῖ, πρόιραν αὐτὴν εἰπὼν παρὰ τὸ προιέναι καὶ προπορεύεσθαι. ἐπεὶ οὖν τὴν πρῷραν οὐκ ἔχει ἡ Ἀργώ, φησὶν ὅτι πρὸς τὸ ἐναντίον πρυμνόθεν ἕλκεται.

MK καὶ αὐτὴ δὲ ἡ τοῦ ποιητοῦ λέξις ἔχει τινα ἔμφασιν· πρὸς τὸ βίαιον γάρ, φησίν, ἕ λ κ ε τ α ι.

S καὶ οὐκ εἰσὶν αἱ ὁδοὶ αὐτῆς κ α τ ὰ χ ρ έ ο ς ἢ κατὰ τὸ προσῆκον εἴγε π ρ υ μ ν ό θ ε ν ἕ λ κ ε τ α ι.

MDΔKUA 344. — ἀ λ λ' ὄ π ι θ ε ν φ έ ρ ε τ α ι: ἡ Ἀργὼ κατ' οὐρὰν ἕλκεται τοῦ Κυνός. φέρεται γὰρ ὡς ἐπὶ πρύμναν, ὁμοίως ταῖς καταγομέναις τῶν νηῶν. καὶ

1–10 MDΔKUAS (*38r,56–38v,2*) **1** ὁ δὲ νοῦς *codd.*: *om.* S | δὲ *om.* KS | κυνὸς MS: ὅς κυνὸς UA *om.* DΔK | ἐστιν MKUA: φέρεται SD^{pc}Δ *fortasse recte* φαίνεται D^{ac} **2** καὶ ... αὐτοῦ MKS (τῆς οὐραίας M τοῦ οὐραίου K τῆς οὐρᾶς S): *om.* DΔUA **2–3** αὕτη δὲ ἡμίτομος MDΔKS: *om.* UA **3** φαίνεται (φέρεται S) ἐν τῶι οὐρ– MKS: ἐν οὐρ– φαίνεται DΔ φαίνεται UA | ἤτοι ... θέσεως *om.* S | ἤτοι οὕτως MDΔK: ἢ τοιούτως U A **4** τὰ M *ut vid.*: τὸ *vel* τὰ U τὸ DΔA τὴν K *om.* S τὰ περὶ *secl.* *Maass* | τὴν *om.* S | ἐστι S: ἔχει *codd.* | προνενευκότα *scripsi*: προνενευκυῖαν MKUA προνενευκὸς D προνενευκὼς Δ προνενευκυῖα S **5–6** προπλέοντα .... λέγων *om.* S **5** προπλέοντα *scripsi*: προπλέουσαν MKU προσπλέουσαν A προπλέον DΔ **5–6** περὶ .... λέγων MKUA (τὸ ω̄ A): *om.* DΔ **6** Ἡρωδ– MDΔKU: ὁ Ἡρωδ– AS **7** παρετυμολογεῖ *codd.*: *om.* S | πρόιραν (πρώϊραν Δ) αὐτὴν *ante* Ἡρωδ– DΔ | αὐτὴν πρώιραν K | πρόϊραν DS: πρώϊραν MΔKA πρώραν U | εἰπὼν MKUA: εἶπε S *om.* DΔ **8** προπορεύεσθαι MDΔA: πορεύεσθαι KS U *mutil.* | πρώραν *codd.*: πρόϊραν S **9** πρὸς *codd.*: κατὰ S | *in fine add.* ἤτοι ὄπισθεν φέρεται A.

11–12 MK

13–14 S (*38v,2*) ὁδοὶ αὐτῆς *scripsi*: αὐτοῦ ὁδοὶ S.

15–p. 249,7 MDΔKUA *lemma* MDΔUA (ὄπισθεν UA): ἀλλ' ὄπισθεν K **16** τοῦ *om.* K τοῦ κυνὸς *om.* A | ὡς *om.* A **16–17** ἐπὶ πρύμναν MDΔK: ἐπὶ πρύμνην U περὶ πρύμναν A

γάρ ἐστιν ἡμίτομος. τὸ δὲ ἕλκεται ἴσως μὲν ὅτι σκάφος, μᾶλλον δὲ ὑπὸ τοῦ οὐρανοῦ περιάγεται. οὐκ εἰς δέον δέ, φησίν, ἐστὶν αὐτῆς ὁ πλοῦς, ὅτι μὴ ἐπὶ πρῷραν, ἐπὶ πρύμναν δὲ φέρεται. κορώνην δὲ (345) τὸ τῆς πρύμνης ἐπικαμπές. ὁ δὲ Ἄρατος λέγει τὴν πρύμναν αὐτήν. ὅθεν καὶ Ὅμηρος „κορωνίδας νaῦς".

ἄλλως. ὄπιθεν φέρεται: ἀλλ' εἰς τὸ ἐναντίον φέρεται ὡς ἐπὶ τὴν πρύμναν τραπεῖσα, ὥσπερ καὶ αἱ ἄλλαι νῆες ἐπὶ τὴν πρύμναν στρέφονται ὅταν μόνον προσορμίζωνται, ἵν' ᾖ „ἡ δὲ πρύμνα ὡς ἐπὶ γῆν ἐν τῷ ὅρμῳ εἰσάγεται". ὅθεν καὶ τὰ πρυμνήσια δεσμοί εἰσιν. ὅπερ οὖν κατά τινα καιρὸν αἱ ἄλλαι ἔχουσι, τοῦτο αὕτη δι' ὅλου διὰ τὸ μὴ ἔχειν τὴν πρῷραν. MDΔKUA

345. — ἐπιστρέψωσι κορώνην: αὐτὸ τὸ τῆς πρύμνης ἀκροστόλιον. παρὰ γὰρ τὸ ἐπικαμπές. M

ὁ δὲ νοῦς: ὥσπερ καὶ αἱ ἄλλαι νῆες, ἐπειδὰν οἱ ναῦται MDΔUA

---

1 γὰρ MK: *om.* DΔUA | ἴσως DΔKUA: ἴσος M | μὲν MKU: *om.* DΔ A **1–2** ὅτι σκάφος MU: ὡς σκάφος DΔA ὅτι ἄγεται K **2** μᾶλλον δὲ MK: ἢ ὅτι DΔUA **3** ἐστὶν *om.* A | αὐτῆς ὁ πλοῦς MUA: ὁ πλοῦς αὐτῆς DΔK **4** πρύμναν MK: πρύμνην DΔ U *mutil.* | κορώνην M: κορώνη DΔKUA **5** πρύμνης *codd.* Δ[pc]: κρήνης Δ[ac] **6** καὶ *om.* A **7** ναῦς MDΔA: αἷς ἡ ναῦς K *om.* U *ut vid.*

8–14 MDΔKUA **8** ἄλλως M[mg]DΔUA *om.* K | *lemma* ὄπιθεν φέρεται MK: ὄπιθεν DΔ *om.* UA | ἀλλ' M: ἀντὶ τοῦ DΔ *om.* UA **8–9** ἀλλ' εἰς ... φέρεται *om.* K **9** τὴν πρύμναν MKUA: τῆς πρύμνης DΔ **10** αἱ MUA: *om.* DΔK | στρέφονται MDΔA: τρέπονται K φέρονται U **10–11** ὅταν μόνον προσ– MA: ὅταν προσ– μόνον DΔ ὅταν προσ– (μόνον *om. ut vid.*) U ὅτε πρὸς λιμένα καταιρεῖν (*sic*) ἡ ναῦς βούλεται K **12** ὅρμῳ MDΔK: οὐρανῷ UA **12–13** δεσμοί εἰσιν *Maass*: δεσμοῦσιν *codd. post quam vocem scholii finem faciunt* UA **13** κατὰ ... ἔχουσι MDΔ: αἱ ἄλλαι νῆες κατά τινα καιρὸν ἔχουσι K **14** αὕτη MΔ: αὐτὴ D αὐταὶ K | τὴν MK: *om.* DΔ.

15–16 M

17–p. 250,2 MDΔUA *lemma* ἐπιστρέψωσι κορώνην DΔ (*cf.* M *supra*) οἷα καὶ αὐταὶ νῆες UA **17** ὁ δὲ νοῦς M: ὁ νοῦς DΔ *om.* UA | καὶ *om.* UA

ἐπιστρέψωσι τὴν κορώνην καὶ τὴν πρύμναν ἐν τῷ ὁρμίζεσθαι.

MDΔKUA τὸ δὲ πᾶς ἀνακόπτει, τὴν δὲ ⟨ναῦν⟩ εἰσορμιζομένην πᾶς τῶν ναυτῶν ἀνακόπτει καὶ ἀνωθεῖ εἰς τὸ ἐναντίον καὶ ἀνακρούει, ἵνα μὴ ὁρμῇ χρησαμένη ἡ ναῦς ἀθρόως ἐμπέσῃ τῇ γῇ. εἰς τουπίσω οὖν ἠρέμα κωπηλατοῦντες κατ' ὀλίγον αὐτὴν προσορμίσαι ποιοῦσι. διὸ καὶ αὐτός φησι παλιρροθίῃ δὲ καθάπτεται ἠπείροιο (347), τῇ εἰς τὸ ἐναντίον κωπηλασίᾳ ἀνακρουομένη [δὲ] καθορμίζεται τῇ ἠπείρῳ.

MK ἢ ἀνακόπτει, ἐπέχει τοῦ πρόσω δρόμου, καὶ εἰς τοὐναντίον βιαζόμενος ἄγει.

MDΔKUA ἠερίη δὲ ἀντὶ τοῦ ἀμαυρὰ καὶ ἄναστρος καὶ ἀλαμπής.

MDΔKUA 348. — ὥς ἥ γε πρύμνηθεν Ἰησονίς:

---

1 ἐπιστρέψωσι M: ἀποστρ– DΔUA | πρύμνην UA.

3–11 MDΔKUA 3 τὸ δὲ *om.* K | ναῦν *addidi* **3–4** τὴν δὲ εἰσορμιζομένην M: ἣν καθορμιζομένην ναῦν K ἀντὶ τοῦ DΔ *om.* UA **4** πᾶς . . . ἀνακόπτει MDΔK: *om.* UA | *post* ναυτῶν *add.* ὁρμιζομένην DΔ **4–5** ἀνωθεῖ MDΔK: ἀνορθοῖ UA **5** καὶ ἀνακρούει MK: *om.* DΔUA **5–6** χρησαμένη ὁρμῇ D **6** ἡ ναῦς *codd.*: ἡμᾶς K | ἐμπέσῃ MDΔ: ἐμπέσοι UA ἐμπελάῃ K *ut vid.* **7** κωπηλατοῦντες MKUA: κωπηλατοῦσι DΔ | κατ' MUA: καὶ (*bis* D) κατ' DΔ πρὸς K | αὐτὴν MK: *om.* DΔ UA **7–8** προσορμίσαι ποιοῦσι (–οῦσαι U) MUA: προσορμίζουσι DΔ προσποιοῦσι K **8–9** παλ– δὲ καθ– ἠπ– DΔUA: παλιρροθίῃ δὲ M παλιρροθίῃ K **9–10** τῇ . . κωπηλασίᾳ DΔUA: (τοὐναντίον UA): ἡ εἰς τὸ ἐν– κωπηλασίᾳ M ἥτις ἐστιν ἡ εἰς τοὐναντίον κωπ– K **10** ἀνακρουομένη δὲ MK: *om.* DΔUA δὲ *seclusi* | προσορμίζεται U.

12–13 MK 12 ἐπέχει M: ἀντὶ τοῦ ὑπέχει K **13** ἄγει M: ἄγει τὴν ναῦν πρὸς ὅρμον K.

14–15 MDΔKUA ἀμαυρὰ καὶ MK: *om.* DΔUA **14** ἄναστρος M: ἀνάστερος DΔKUA **14–15** καὶ ἀλαμπὴς *om.* UA **15** *in fine add.* ἡ ναῦς DΔUA: *non in* MK.

16–p. 251,2 MDΔKUA *lemma* M: Ἀργὼ DΔ ὡς ἥγε K ὡς ἥγε πρύμνηθεν UA

ὡς Ἰάσονος σκάφος. αὕτη δὲ κατηστερίσθη διὰ τὴν Ἀθηνᾶν ὅτι πρώτη ναῦς ἐδείχθη.

Ἀργὼ ἐκλήθη κατ' ἀντίφρασιν ὡς σύντομος. κατεσκεύασε δὲ αὐτὴν ὁ Ἰάσων. κατὰ κλέος ἀείμνηστον ἐβουλήθη ἀπελθεῖν καὶ λαβεῖν τὸ χρυσόμαλλον δέρος ἐκ τῆς Κολχίδος φυλαττόμενον ἐκεῖσε ἐν τῷ ναῷ τοῦ Ἄρεως. ἦν δὲ τοῦτο τοῦ κριοῦ τοῦ διακομίζοντος ἐκ τῆς Ἑλλάδος εἰς Εὐρώπην τὸν Φρίξον καὶ τὴν Ἕλλην. εἶτα κατακρημνισθείσης τῆς Ἕλλης ἐν τῷ Ἑλλησπόντῳ διεσώθη ὁ Φρίξος ἄχρι τῆς Κολχίδος, ἔνθα θύσας τῷ Ἄρει τὸν κριὸν ἀνέθηκε τὸ χρυσόμαλλον αὐτοῦ δέρος ἐν τῷ ναῷ τοῦ Ἄρεος, καὶ ἦν ἀξιάκουστον. συναγαγὼν δὲ ὁ Ἰάσων ἐκ τῆς Ἑλλάδος νδ' ἄνδρας ῥωμαλέους, ὧν ἦν καὶ Ἡρακλῆς, καὶ οἱ δύο Διόσκουροι, καὶ Ὀρφεὺς ὁ Θρᾷξ καὶ Τελαμὼν καὶ Ἀταλάντη, ἀπελθὼν οὖν μετ' αὐτῶν ὁ Ἰάσων ἐν τῇ Κολχίδι ἐνέτυχε πρῶτον τῇ Μηδείᾳ τῇ θυγατρὶ τοῦ Αἰήτου τηνικαῦτα βασιλεύοντος τῆς Κολχίδος καὶ τῶν Κόλχων, ἣ ἐρασθεῖσα τοῦ Ἰάσωνος ὡδήγησεν αὐτὸν ἐπὶ τὴν ἁρπαγὴν τοῦ δέρους καὶ οὕτω λαβὼν ὁ Ἰάσων τὸ δέρος καὶ κατατροπωσάμενος τοὺς ἀναστάντας ἐπανῆκεν εἰς τὴν Ἑλλάδα μετὰ τῆς Ἀργοῦς καὶ τῶν Ἀργοναυτῶν. Vat. 1087

351. — καί οἱ πηδάλιον: παρηωρημένον τὸ πηδάλιον κεῖται παρὰ τοῖς ὀπισθίοις ποσὶ τοῦ Κυνός, ὅστις Κύων τῆς Ἀργοῦς ἔμπροσθεν πορεύεται. MDΔKUA

---

1 ὡς Ἰάσονος σκάφος MA: ὡς τοῦ Ἰ– τὸ σκ– U Ἰ– αὕτη σκ– K *om.* DΔ | αὕτη δὲ MUA: ἡ ἀργὼ αὕτη D ἡ ἀργώ. αὕτη δὲ Δ κατηστερίσθη δὲ K **2** Ἀθηνᾶν *codd.*: Ἄθω K | ὅτι .. ἐδείχθη MK (ἐδήχθη) UA: ὅτι πρώτη πρώτην ταύτην ἐτεκτήνατο DΔ | *post* ἐδείχθη *add.* A παρ' αὐτῆς ἀλλ' εἰς τὸ ἐναντίον φέρεται; *cf. Catast. 35.*

3–22 Vaticanus gr. 1087 (*306v ad Argus imaginem*) **3** σύντομος Vat: *immo* ἡμίτομος **4** *post* Ἰάσων *distinxi* **5** χρυσόμαλον Vat.

23–p. 252,3 MDΔKUA *lemma* MDΔUA: καί οἱ K **24** τὸ πηδάλιον *om.* DΔ **24–25** παρὰ .. πορεύεται *om.* DΔ **24** παρὰ ... Κυνὸς MKA: τοῖς ποσὶ τοῦ Κυνὸς ὄπισθεν U **25** ὅστις Κύων MK: ὅτι ὁ Κύων A *om.* U | ἔμπροσθεν MKA: *om.* U.

ἄ λ λ ω ς: κεχάλασται γὰρ τὸ πηδάλιον, ὡς ⟨ὅτε⟩ ὁρμίζονται αἱ νῆες, ἐπειδὴ πρύμναν ἔχει μόνην καὶ ὥσπερ δι' ὅλου εἰσορμιζομένη ἐστίν.

MKS ἐπ' ἄκρου δὲ τοῦ πηδαλίου κεῖται μέγας ἀστὴρ ἐπώνυμος τοῦ Κανώβου τοῦ κυβερνήτου Μενελάου. οὐ μνημονεύει δὲ τοῦ ἀστέρος ὁ Ἄρατος. οὐδὲ γὰρ [κατὰ] τοὺς περὶ τὴν Ἑλλάδα τόπους οὐδὲ τοὺς ἔτι βορειοτέρους ἐπέχει [τόπους], ἀλλ' ἔστιν ἀφανὴς ὑπὸ γῆν φερόμενος. φαίνεται δὲ πρῶτον ἀπὸ Ῥόδου τοῖς ἐπ' Αἴγυπτον πλέουσι καὶ τοῖς ἤδη καταίρουσιν, ἔτι μᾶλλον τοῖς διὰ τοῦ Νείλου πρὸς Αἰθίοπας ἀνιοῦσιν.

MDΔKUAS 353. — τ ὴ ν δ ὲ κ α ὶ ο ὐ κ ὀ λ ί γ ο ν π ε ρ: διαλαμβάνει περὶ τοῦ Κήτους ὃ ὁ Ποσειδῶν ἔπεμψε τῷ Κηφεῖ καὶ περὶ τῆς Ἀνδρομέδας· καὶ διδάσκει αὐτὸ τὸ Κῆτος ἀπό τινων προεγνωσμένων, τοῦ τε Κριοῦ καὶ τῶν Ἰχθύων. ὁ δὲ νοῦς· τὴν δὲ Ἀνδρομέδαν, καίπερ πολὺ πόρρω τοῦ Κήτους οὖσαν, ὅμως ἐκφοβεῖ. π ε π τ η υ ῖ α ν δέ, ἤτοι ὡς προσδεδέσθαι

---

1 ἄλλως MKA: *om.* U ἄλλως κεχάλασται γὰρ τὸ *om.* DΔ | ὡς *codd.*: ὥστε K | ὅτε *addidi* **2** ὁρμίζονται MKUA: ὁρμίζον DΔ | αἱ νῆες KUA: αἱ ναῦς M τὴν νῆα D τὴν ναῦν Δ.

4–11 MKS (*38ᵛ, 3–8*) *lemma* καὶ οἱ πηδάλιον S **4** ἄκρου MS: ἄκρων K | δὲ *om.* S | τοῦ *ante* Καν– *om.* S **6** ὁ Ἄρατος MK: ὁ λόγος Ἀράτου S | οὐδὲ M: οὐ KS | κατὰ MK: *om.* S *seclusi* **7** περὶ τὴν Ἑλλάδα MK: τῆς Ἑλλάδος S | ἔτι MK: *om.* S **8** τόπους MK: *non in* S *seclusi* **10** ἔτι MS: ἔστι (*sic*) δὲ K **11** τοῦ MK: *om.* S | πρὸς MK: εἰς τοὺς S | ἀνιοῦσιν MS: πλέουσιν K.

12–p. 253,3 MDΔKUAS (*38ᵛ, 9–17*) *lemma* M: Ἀνδρομέδην DΔ τὴν δὲ καὶ οὐκ ὀλίγον K πεπτηυῖαν U πεπτηυῖαν Ἀνδρομέδαν A μέγα κῆτος (*354*) S **13** διαλαμβ– περὶ τοῦ κήτους MDΔK UA: τὸ κῆτος S | ὃ (ὅπερ K) ὁ Ποσ– ἔπ– MDΔKUA: ὃ ἐπ– Ποσ– S **14** τῷ *om.* S | καὶ περὶ MDΔKUA: διαλαμβάνει δὲ περὶ S | τῆς Ἀνδρομ– MDΔKUA: τοῦ κήτους Ἀνδρομέδας S **15** τινων *codd.*: τῶν K **16** ἰχθύων *codd.*: λοιπῶν K **16–17** τὴν δὲ Ἀνδρ– *codd.*: δὲ *om.* S **17** καίπερ *codd.*: καὶ S | πόρρω *post* κήτους U **17–18** ὅμως ἐκφοβεῖ MDΔKUA: ἐξιστορεῖ S **18** πεπτηυῖαν δὲ MDΔUA: τὸ δὲ πεπταυῖαν K δὲ *om.* S | ἤτοι *om.* K | ὡς *om.* S | προσδεδέσθαι *scripsi non sine dubitatione*: πρὸς τὸ δεδέσθαι (*cf.* K) *Bekker quem secutus est Maass* προσδεδέχθαι MUAS προσδεδόσθαι DΔ πρὸς τὸ δεδόσθαι K

ἑτοίμην οὖσαν τῷ Κήτει, ἢ ὅτι ἔμφασιν παρέχει τοῦ δέους. ἀπεστράφη γὰρ καὶ οὐκ ἀφορᾷ πρὸς τὸ Κῆτος, ἐπὶ τὰ βόρεια τὴν ὄψιν φέρουσα.

ἔπεμψε δὲ τοῦτο Ποσειδῶν διὰ Κασσιέπειαν καὶ Ἀν- S
δρομέδαν ἀναιρεῖσθαι ταῖς νηρῇσι. Περσεὺς δὲ αὐτὸ ἀνεῖλε. καὶ εἰς τὰ ἄστρα δι' αὐτὸν ἐτέθη ὑπόμνημα τῆς πράξεως. ἔχει δὲ ἀστέρας ἐπὶ τοῦ οὐραίου β'. ἀπὸ δὲ τῆς οὐρᾶς ἐπὶ τοῦ κυρτώματος ἕως κενεῶνος ἐπὶ τὴν κοιλίαν ἕξ. τοὺς πάντας ιγ'.

τοῦτό ἐστι τὸ τῇ Ἀνδρομέδᾳ ἐπιβούλευσαν, ὅπερ Vat. 1087
καὶ ἀνεῖλεν ὁ Περσεύς.

355. — ἡ μὲν γὰρ Θρήϊκος: τὸ διάστημα MDΔKUAS
τοῦ Κήτους καὶ τῆς Ἀνδρομέδας φησίν. ἡ μὲν γὰρ Ἀνδρομέδα βόρειός ἐστι, τὸ δὲ [Κῆτος] πολέμιον αὐτῇ φέρεται (ὅπερ θηρίον εἶπεν ὁ Ἄρατος, τὸ Κῆτος), εἰς τὰ νότια ὃν κάτω τοῦ Κριοῦ καὶ τῶν Ἰχθύων ἀμφοτέρων, ὀλίγον ἄνω κείμενον τοῦ ἀστερώδους Ποταμοῦ. ἔστι γάρ τι σύστημα νεφελῶδες ἐξ ἀστέρων, ὕδατος ῥύσιν μιμούμενον. ὅπερ φησὶν Ἠριδανοῦ εἶναι λείψανον.

---

1 τῷ κήτει DΔKUAS: τὸ κῆτος M | παρέχει *codd.*: ἔχει K **2** ἀποφορᾶ U | πρὸς *om.* K **3** ἐπὶ MK: ἐπὶ δὲ DΔA ὡς ἐπὶ S *post* ἐπὶ U *evan.* | φέρουσα MKAS: στρέφει DΔ φέρει U *ut vid.*

4–9 S (*38ᵛ,17–23*) *Ceti fabula* (*Catast. 36*).

10–11 Vaticanus gr. 1087 (*306ᵛ sub Ceti imagine*).

12–20 MDΔKUAS (*38ᵛ,23–29*) *lemma* MDΔU *ut vid.* AS: ἡ μὲν γὰρ K **12–13** τὸ διάστ– τοῦ Κήτους MDΔUA: τοῦ κήτους τὸ διάστ– K τὸ διάστ– τῆς Ἀνδρομέδας καὶ τοῦ Κήτους S | **13** φησιν DΔKUAS: φασιν M **14** Ἀνδρομέδα *fortasse secludendum* **14–15** τὸ δὲ κῆτος .... τὸ κῆτος MS (φέρεται S φέρει M): θηρίον δὲ τὸ κῆτος λέγει D τὸ δέ, νότος. θηρίον δὲ τὸ κῆτος λέγει Δ τὸ δὲ κῆτος πρὸς τὸν νότον πέφυκεν. ὅπερ θηρίον εἶπεν ὁ Ἄρατος K τὸ δὲ κῆτος πολέμιον Ἀνδρομέδα. ὅπερ θηρίον εἶπεν UA *ego textum* MS *servavi seclusa voce* κῆτος *l. 14 et verbis* ὅπερ ... Κῆτος *parentheseos loco habitis* **15–16** εἰς τὰ νότια ὃν MUAS: ἔστι δὲ εἰς τὰ νότια DΔ *om.* K **16** κάτω *om.* S **16–17** ἀμφοτέρων MKUAS: *om.* DΔ | ἄνω κείμενον MΔKU: ἀνακείμ– DS ἄνω κείμενα A **18** τι *om.* K | ἀστέρων *codd.*: ἄστρων S **19–20** ὅπερ .... λείψανον *om.* DΔ **19** φησὶν *om.* S.

MDΔKUA καὶ γὰρ ἐκεραυνώθη μετασχὼν τοῦ κεραυνοῦ τοῦ Φαέθοντος. εἰς αὐτὸν γὰρ κατηνέχθη ὁ Φαέθων ὑπὸ Διὸς καταφλεχθεὶς διὰ τὸ ἐπιβῆναι τῷ τοῦ Ἡλίου ἅρματι.

MK π ο λ υ κ λ α ύ τ ο υ δὲ (360) εἶπεν ὅτι αἱ Ἡλιάδες παρὰ ταῖς τοῦ Ἠριδανοῦ ὄχθαις ὀδυρόμεναι τὸν ἀδελφὸν εἰς αἰγείρους μετεβάλοντο, ὅπου αὐτῶν καὶ τὸ δάκρυον ἤλεκτρον ποιεῖ.

MDΔKUAS 359. — ο ἷ ο ν γ ὰ ρ κ ἀ κ ε ῖ ν ο: θαυμαστικῶς. ἐδέξατο ἐκ τοῦ Κήτους διδάξαι τὸν παρακείμενον Ποταμόν. καὶ τὸ μὲν Ἠριδανοῦ καλούμενον λείψανον ὑπὸ τὸν τοῦ Ὠρίωνος κεῖται ἀριστερὸν πόδα, οἱ δὲ οὐραῖοι δεσμοὶ τῶν Ἰχθύων, οἷς ἀμφότεροι δέδενται, συμπεριφέρονται καὶ ἐπιψαύουσι τῆς τοῦ Κήτους ἀκάνθης.

ἡ γὰρ τοῦ θηρίου ἄκανθα ἡ περὶ τὴν οὐράν, σεληνοειδὴς οὖσα, ἄκρως ἐπιψαύει ἀμφοτέρων τῶν δεσμῶν οἷς καὶ αἱ τῶν Ἰχθύων οὐραὶ δέδενται.

S λ ε ί ψ α ν ο ν Ἠ ρ ι δ ά ν ο υ: οὗτος ἐκ τοῦ ποδὸς τοῦ Ὠρίωνος τοῦ ἀριστεροῦ τὴν ἀρχὴν ἔχει. καὶ καλεῖται κατὰ μὲν τὸν Ἄρατον Ἠριδανός. οὐδεμίαν δὲ ἀπόδειξιν φέρει περὶ αὐτοῦ. ἕτεροι δέ φασι δικαιότατα

1–4 MDΔKUA **3** τοῦ Διὸς K | καταφλεχθεὶς *codd.*: κεραυνωθεὶς K | ἡλίου MKUA: πατρὸς ἡλίου DΔ.

5–8 MK (*in* K *infra post sch. 359 p. 255, l. 12*) **5** δὲ εἶπεν M: *om.* K | *cf. inter alia testimonia Schol. Od.* ρ *208, Schol. Ap. Rh. IV 596 sqq.*

9–18 MDΔKUAS (*38ᵛ,30–37*) *lemma* MDΔA: οἷον γὰρ K τοῖον γὰρ S U *mutil.* **9** θαυμαστικῶς DΔKA: -κὸς M -κὸν S U *mutil.* **10** παρακείμενον DΔKU: περικ- MAS **11** τὸ *codd.*: τοῦ DΔ **13** οἷς *om.* S | ἀμφότεροι *codd.*: ἀμφοτέρωθεν K | ἀμφ- δέδ- *codd.*: δέδ- ἀμφ- S **14** *ante* συμπεριφ- *add.* καὶ S | συμπεριφ- *codd.*: συνεπιφ- U **16** θηρίου *codd.*: ἡλίου D | περὶ τὴν οὐράν: *cf. p. 255, l. 19; Aratus ipse non de cauda, sed de cervice Ceti loquitur* (*v. 364* κητείης ... λοφίης); *fortasse verba* ἡ περὶ τὴν οὐρὰν *secludenda sunt* **16–17** σεληειοδὴς S **17** ἄκρως MDΔUS: ἄκρων K καὶ ἄκρως A | τῶν δεσμ- ἀμφοτ- DΔ **18** αἱ τῶν *codd.*: αὐτῶν K.

19–p. 255,8 S (*38ᵛ,37–47*) *Fluvii fabula* (*Catast. 37*).

αὐτὸν λέγει Νεῖλον. μόνος γὰρ οὗτος ἀπὸ μεσημβρίας τὰς ἀρχὰς ἔχει. πολλοῖς δὲ ἄστροις κεκόσμηται. ὑπόκειται δὲ αὐτῷ καὶ ὁ καλούμενος ἀστὴρ Κάνωβος. καὶ ἐγγίζει τῷ πηδαλίῳ τῆς Ἀργοῦς. τούτου δ' οὐδὲν ἄστρον κατώτατον φαίνεται. ἔχει δ' ἀστέρας ἐπὶ τῆς πρώτης καμπῆς γ'. ἐπὶ τῆς δευτέρας γ'. ἐν τῇ τρίτῃ ἕως τῶν ἐσχάτων ζ' ἃ φασὶν εἶναι τὰ στόματα τοῦ Νείλου.

ἔστι δὲ ὁ Ἠριδανὸς τῆς γειτνιώσης τῇ Ἰταλίᾳ [θαλάσσης τῆς] Γαλατίας. καλεῖται δὲ ὑπὸ τῶν ἐγχωρίων Βόχερσος. Αἰγύπτιοι δέ φασι Νεῖλον εἶναι τὸν κατηστερισμένον. MDΔKUA

364. — κητείης δ' ὄπιθεν: περὶ τῶν δεσμῶν τῶν Ἰχθύων διαλέγεται. ὄπισθεν δὲ τῆς τοῦ Κήτους λοφιᾶς ἀναμὶξ ὁρῶνται [οἱ δεσμοὶ] εἰς ταύτην περατούμενοι καὶ εἰς τὸ τέλος ἔρχονται [οἱ δεσμοί]. τὸ δὲ ὃς κείνου (366) ἀντὶ τοῦ ὅστις ἀστὴρ τοῦ προειρημένου Κήτους ἐπ' ἄκραν κεῖται ἄκανθαν. MDΔKUAS

τὸ γὰρ τῶν δεσμῶν τέλος ἕως τῆς ἀρχῆς τῆς οὐρᾶς τοῦ Κήτους.

9–12 MDΔKUA **9** *post* Ἠριδανὸς *libenter* ποταμὸς *addiderim* **9–10** θαλάττης DΔ θαλάσσης τῆς *seclusi* **10** τῆς Γαλατίας MK (τῆς *om.*): *om.* DΔUA **11** Βόχερσος MK: Βόχειρος D Βόχερρος Δ Βόχερνος UA **11–12** εἶναι τὸν κατ– M: εἶναι αὐτὸν τὸν κατ– DΔ καταστ– (*om.* εἶναι τὸν) K αὐτὸν εἶναι τὸν κατηστ– UA | *hic praebet* K *p. 254, ll. 5–8.*

13–p. 256,2 MDΔKUAS (*38ᵛ, 48–53, sine ll. 19–20*) *lemma* M DΔS (κητήεις *vel* κητόεις S): κητείης δ' K κητείης δ' ὄπισθεν λοφίης ἀναμὶξ φορέονται A κητείης δ' ὄπιθεν ....[... U **13–15** περὶ τῶν ... ὁρῶνται *om.* A **14** ὄπισθεν Δ *ut vid.* KUS: ὄπιθεν MD **15** λοφιᾶς *codd.*: κεφαλῆς U | ὁρῶνται *codd.*: φορέονται U | οἱ δεσμοὶ *codd.* (οἱ *om.* DΔ): *seclusi* **16** καὶ ... οἱ δεσμοί *om.* K | εἰς τὸ τέλος MUA: εἰς τέλος DΔ εἰς τὸ [*spatium*] ἑνος S | οἱ δεσμοὶ MUAS: *om.* DΔ *seclusi* | τὸ δὲ *om.* KS **17** ἀντὶ τοῦ *om.* US | ἀστὴρ *om.* K **18–20** ἐπ' ἄκραν .. τοῦ Κήτους *om.* UA (*homoeoteleuton*) **18** κήτους *codd.*: καὶ νῦν S | ἄκανθαν *codd.*: ἀκάνθης S **19–20** *cf. supra ad p. 254, l. 16; non in* S | τῆς οὐρᾶς τοῦ Κήτους MK: τοῦ κ– τῆς οὐρ– DΔ

ὁ γὰρ ἐπὶ τῆς ἀκάνθης ἀστὴρ τέλος ἐστὶ τῶν δεσμῶν τῶν Ἰχθύων.

MDΔKUAS 367. — οἱ δ' ὀλίγῳ μέτρῳ: μέτρῳ λέγει τῷ μεγέθει. σμικροὶ δὲ καὶ ἀμυδροί. φησὶ δὲ περὶ τῶν νοτίων ἀστέρων τῶν μεταξὺ τοῦ πηδαλίου καὶ τοῦ Κήτους διηκόντων κατὰ τῶν τοῦ Λαγωοῦ πλευρῶν. οὗτοι δὲ οἱ ἀστέρες παρὰ τῶν παλαίων ἀστρονόμων οὐ διετυπώθησαν οὐδὲ εἰδωλοπεποίηνται ὥσπερ ἅπαντα τὰ προειρημένα.

MDΔKUA ἀλλ' ἐπειδὴ ἀφανεῖς εἰσιν ὄντες σφόδρα νότιοι καὶ ἡμῖν οὐκ εὐσύνοπτοι, διὰ τοῦτο οὐδὲ τυπώσεως ἔτυχον παρὰ τῶν παλαιοτέρων. οὕτω δὲ αὐτοὺς ψιλῶς μνημονεύει ὑπὲρ τοῦ μή τινα ἐν τοῖς νοτίοις τούτους τοὺς ἀστέρας θεασάμενον πλανηθῆναι.

MDΔUAS τίνες οὖν οὗτοι [εἰσὶν οἱ ἀστέρες]; οὐ λέγει. ἀλλὰ προδιδάσκει ὅτι μάτην φέρονται. εἰσὶ δὲ οἱ νοτιώτεροι ἀστέρες ἀμυδροί. τίνος ἕνεκεν; ὅτι περιγειότεροί εἰσι τῶν βορείων. αἱ δὲ τῆς γῆς ἀναθυμιάσεις ἀναδιδόμεναι ἀμαυροῦσι τοὺς ἀστέρας.

MK ἄλλως: οἱ δ' ὀλίγῳ μέτρῳ: μεταξὺ

---

1 τῆς ἀκάνθης *codd.*: τὴν ἄκανθαν S.
3–9 MDΔKUAS (*38ʳ,53–39ʳ,1*) *lemma* MDΔUA: οἱ δ' ὀλίγῳ K οἱ δ' ὀλίγον S **3** μέτρῳ² *codd.*: μέτρον S **4** σμικροὶ δὲ M: μικροὶ γὰρ D μικροὶ δὲ ΔUA ἢ (?) σμικροὶ K σμικρὸν δὲ S | ἀμυδρὸν S **6** κατὰ MDΔUA: μέχρι K ἀπὸ S | τοῦ MΔKAS: *om.* DU **7** *post* ἀστέρες *add.* δοκοῦσι S **8** οὐ διετυπώθησαν *codd.*: μὴ διατυπωθῆναι S | εἰδωλοπεποίηνται *Bekker*: εἰδώλοις πεποίηνται *codd.*
10–14 MDΔKUA 10–11 καὶ ἡμῖν οὐκ εὐσύνοπτοι *om.* UA **11** οὐδὲ *codd.*: οὐ UA | τυπώσεως MKUA: διατυπώσεως DΔ | ἔτυχον MDΔK: ἔλαχον UA **12** αὐτοὺς MUA: αὐτῶν DΔK | ψιλῶς *om.* K
15–19 MDΔUAS (*39ʳ,1–3*) **15** οὗτοι εἰσὶν οἱ ἀστέρες M: εἰσὶν οἱ ἀστέρες οὗτοι DΔUA εἰσὶν οὗτοι S εἰσὶν οἱ ἀστ– *seclusi* | λέγονται A **16** νοτιώτεροι M: –τατοι DΔUAS *fortasse recte* **17** τίνος ἕνεκεν MUA: *om.* DΔS | περιγειότεροι MDΔU (*cf. ad sch. 391*): προσγ– AS (*cf. Achill. 18,19 Maass pp. 46–47*) **18–19** ἀναδιδόμεναι MDΔS: διδόμεναι UA.
20–p. 257,10 MK 20 ἄλλως .. μέτρῳ M: *om.* K

δὲ τοῦ Κήτους καὶ τοῦ πηδαλίου εἰσὶν ἀστέρες ἔν τε ὀλίγῳ χωρίῳ καὶ οὐ πάνυ ἐμφανεῖς ὑπὸ τῷ Λαγωῷ κείμενοι. γλαυκοῦ δὲ (369) εἶπεν ἤτοι ἀναφέρων ἐπὶ τὸ ζῷον, ἢ καὶ ⟨διὰ⟩ τὸν τοῦ οὐρανοῦ τόπον ἐν ᾧ ὁ Λαγωός, οὐ πάνυ εὐάστερον ὄντα, χρῶμα δὲ [καὶ] μόνον οὐρανοῦ παρεχόμενον οἷον γλαυκίζον. οὐδὲν γὰρ εἴδωλον ἐξ αὐτοῦ μεμόρφωται, οἷα δὴ τὰ κατὰ τὸν ἄλλον οὐρανὸν φέρεται. τὰ μὲν οὖν πλεῖστα τῶν ἄστρων διετυπώθη, οἱ δὲ ὑπὸ τὸν Λαγωὸν ἀερώδεις τέ εἰσι καὶ ἀνώνυμοι.

370. — νώνυμοι: οὐ γὰρ μορφωθέντος εἰδώλου ἐπὶ τοῖς μέλεσι κεῖνται, ὁποῖα πολλὰ εἴδωλα, τὰ προειρημένα, πάντα ἐφεξῆς καὶ κατὰ τάξιν κείμενα ἀνύει τὰς αὐτὰς ὁδοὺς ἐπιγιγνομένων τῶν χρόνων. ἐδίδαξεν οὖν ἡμᾶς ὅτι εἰδωλοποίησαν οἱ παλαιοὶ τοὺς ἀστέρας ὑπὲρ τοῦ εὐσυνόπτους εἶναι. οὗτοι μέντοι οὐκ εἰδωλοποιήθησαν ὡς καὶ τὰ προειρημένα. MDΔKUA

τὸ δὲ ἑξείης στιχόωντα (372) ἐφεξῆς καὶ κατὰ τάξιν κείμενα, τὰ προειρημένα εἴδωλα. MKS

οὐ γάρ τοι .. τετυγμένου: οὐ γὰρ οὗτοι οἱ ἀστέρες ἐοικότες εἰσὶν [ἄστρασι τοῖς ἐν] τοῖς μέλεσι [βεβλημένοις] τῶν εἰς εἴδωλον βεβλημένων. MK

372. — αὐτὰ κέλευθα: περὶ τῶν λοιπῶν MDΔKUA

---

1 *ante* καὶ *add.* ἠδὲ K | εἰσὶν ἀστέρες ἔν τε M: οἱ ἀστέρες οὗτοι ἐν K **3** γλαυκοῦ δὲ εἶπεν M: γλαυκοῦ: γλαυκὸν εἶπεν K **4** ζῷον *scripsi:* ζώδιον MK | διὰ *addidi* **5** καὶ MK: *seclusi* **6** παρεχόμενον K: παρερχόμενον M **7–8** τὰ κατὰ τὸν ἄλλον M: καὶ τὰ τῶν ἄλλων K **8** οὐρανὸν φέρεται M: *om.* K.

11–17 MDΔKUA *lemma* MDΔK: οὐ γάρ τοι τετυγμένου UA **11** μορφωθὲν εἴδωλον K **12** μελέεσσι K | κεῖνται MK: κινοῦνται DΔ *om.* UA **13** πάντα DΔUA: *om.* MK **16** ὑπὸ U | μέντοι MDΔK: δὲ UA **16–17** εἰδολ– M **17** καὶ *om.* UA | *in fine add.* εἰδωλοποιήθ(ησαν) M.

18–19 MK (*post ll. 20–22*) **S** (*39ʳ, 19–20 post sch. 381*) *praebet tantum* K *sine lemmate* ὁποῖα τὰ προειρημένα εἴδωλα ἐξείης καὶ κατὰ τάξιν κείμενα **18** τὸ δὲ M: *om.* S.

20–22 MK *lemma* M: *om.* K | οὐ γὰρ οὗτοι M: οὗτοι γὰρ K **21** ἐοικότες M: οὐκ ἐοικότες K | ἄστρασι τοῖς ἐν *seclusi* **22** βεβλημένοις *secl. Maass* | εἴδωλον M: εἴδωλα K.

23–p. 258,7 MDΔKUA *lemma* MDΔK: ἐξήεις (*sic*) στιχόωντα UA

διαλέγεται ἄστρων, ὅτι ἕκαστον αὐτῶν τὰς αὐτὰς ὁδοὺς καὶ περιφορὰς ἔχει. ἀφ' οὗ γὰρ ἂν σημείου τοῦ ὁρίζοντος ἀνατείλῃ ὁ Αἰγόκερως, πάλιν δύνει καὶ ἐξ ἐκείνου τοῦ σημείου ἀνατέλλει. καὶ εἰς οἷον μέρος ἂν δύσιν ποιήσηται, πάλιν δυόμενος οὐκ εἰς ἕτερον μέρος δύεται, ἀλλ' εἰς τὸ αὐτό. τὸ δὲ αὐτὸ τοῦτο καὶ ἐπὶ πάντων· ἕκαστον γὰρ κατὰ τῶν αὐτῶν σημείων ἀνατέλλει τε καὶ δύνει.

MDΔKUAS 373. — τά τις ἀνδρῶν οὐκέτ' ἐόντων: τὰ εἴδωλα τῶν οὐκέτι ὄντων ἀνδρῶν [ἀλλὰ] παλαιός ⟨τις⟩ ἀνὴρ ἐσκέψατο, καὶ διενοήθη ἅπαντα ἀθρόα καὶ ὁμοῦ μορφῶσαι καὶ ὄνομα ἑκάστῳ θέσθαι. οὐ γὰρ ἂν ἠδυνήθη πάντων τῶν ἀστέρων καθ' ἕνα διακρίνων ὄνομα εἰπεῖν ἢ μαθεῖν, ἀλλ' ἀπὸ πολλῶν Κηφέα καὶ Λέοντα καὶ Τοξότην εἰπών, καὶ τἄλλα πάντα, διετύπωσε καὶ προσηγορίαν πάσῃ τῇ διατυπώσει δέδωκε [Τοξότην

---

1 ἄστρων *scripsi*: ἀστέρων *codd.* | αὐτὰς τὰς ὁδοὺς D **3** ἀνατείλῃι ὁ Αἰγόκερως M: ὁ Αἰγ– ἀνατέλλει (–τέλλῃ Δ) DΔUA ἀνατείλῃ K (ὁ Αἰγ– *om.*) **3–4** ὁ Αἰγόκερως ... ἀνατέλλει *om.* K **3** *ante* πάλιν *add.* ἐν τῷ αὐτῷ DΔ **4** μέρος ἂν *Maass*: μέρος ἐὰν M ἂν μέρος DΔK μέρος UA | δύσιν MKUA: τὴν δ– DΔ | ποιήσηται MDΔK: ποιήσεται UA **5–6** οὐκ εἰς ... τὸ αὐτὸ MK: εἰς τὸ αὐτὸ δύνει καὶ οὐκ εἰς ἕτερον DΔ οὐκ εἰς ἕτερον μέρος δύσεται (*om.* ἀλλ' εἰς τὸ αὐτὸ) UA **6** τὸ δὲ αὐτὸ τοῦτο MUA: τοῦτο δὲ DΔ τὸ αὐτὸ δὲ τοῦτο K **7** τῶν αὐτῶν σημείων MDΔ: τὰ αὐτὰ σημεῖα KUA | τε MDΔK: *om.* UA.

8–p. 259,2 MDΔKUAS (*39ʳ,3–11*) *lemma* MUA: τά τις ἀνδρῶν DΔS τά τις K **9** τῶν οὐκέτι ὄντων (οὐκέτ' ἐόντων UA) ἀνδρῶν (*om.* S) MDΔUAS: οὐκέτι τις τῶν ὄντων ἀνδρῶν K | ἀλλὰ MKUA: *om.* DΔ *del.* Est (*unde Ald.*) *secl. Maass* **10** τις *add.* Est: *non in* MDΔKUAS | ἐπεσκέψατο K | διενοήθη *codd.*: ἠδυνήθη DΔ **11** μορφώσειν K | καὶ *om.* S | ὄνομα MDΔU: τὸ ὄνομα A ὀνόματα S *om.* K | ἑκάστῳ θέσθαι (ἕκαστον S *ut vid.*) MKS: θέσθαι ἑκάστῳ DΔUA **12** ἂν S: *om.* *codd.* | πάντα D | ἄστρων A **13** εἰπεῖν ἢ μαθεῖν *om.* U | ἀπὸ πολλῶν MDΔKA: πολλῶν U τῶν πολλῶν S | *post* ἀπὸ πολλῶν *add.* οἷον εἰπεῖν DΔ | Κηφέως A **13–14** καὶ Λέοντα KS: Λέοντα MDΔ λέγων U λέγει A **14** διετυπώσατο S **15** προσηγορίαν *post* διατυπώσει K | δέδωκε *codd.* S[pc]: γέγονε S[ac] **15–p. 259,1** Τοξότην... ἑξῆς *codd.*: *om.* S *seclusi*

εἰπὼν καὶ Λέοντα καὶ τὰ ἑξῆς]. ἐδίδαξε δὲ ἡμᾶς καὶ πῶς εἰδωλοποιήθησαν καὶ δι' ἣν χρείαν.

375. — οὐ γάρ κε δυνήσατο πάντων: MDΔUAS
566. — αὐτὸς δ' ἂν μάλα τοι: [περὶ] τοῦ ὁρίζοντός φησι κέρατα τήν τε ἀνατολὴν καὶ τὴν δύσιν. MΔKUAS

---

2 περισκοπεῖν MKA: πάλιν σκοπεῖν Δ πάλιν σκοτοῦν U.

3–12 **MΔKUAS** (*42^{r},43–52*) *scholium corruptissimum* | *lemma* MKA: περισκέψαιο Δ τὰς δ' ἄν κε περισκέψαιο US **4** δὴ *codd.*: *om.* S | περισκοπούμενος ἀκριβῶς MΔKU (σκοπούμενος) A: ἀκριβῶς ὁρῶν S **4–5** καὶ εἰς ... ἀφορῶν *codd.*: ἐν ἑκάστω ζωδίω S | αὐτὰς ὁρῶν MKUA: *om.* Δ *fortasse recte* **5** εἰς *add. Maass praeeunte* Est (ἤγουν εἰς) **6–7** καλύπτονται Δ: κάλυπτοιντο KUAS καταкαλύπτοιντο MC **7** παρακειμένων *codd.*: περι– Δ | ὀρῶν ΔKUAS^{pc}: ὡρῶν MS^{ac} **7–8** γίνονται ἀφανεῖς κεκρυμμέναι MKAS: κρύπτονται Δ γίνονται ἀφανεῖς U γίνονται ἀφανεῖς *seclusi* **8** ἢ ἀπὸ ὄρους ἔχουσι *codd.*: *om.* S *spatio idoneo relicto* ἢ ἀπὸ ὄρους *seclusi* (*glossa videtur esse verborum* ἢ ὄρεος *v. 564*) *et* ἀφανεῖς *huc transtuli* **9** συνορᾶν MKUAS: μὴ συνορᾶν Δ συνορᾶν ἀδύνατον *Maass, sed* ὥστε *ad ea quae sequuntur pertinet* | ἡρμοσμένα MΔKU: ἡρμοσμένους A –μένως S | ἀσφαλῆ *codd.*: ἀσφαλῶς S **10** καὶ πάλιν ποιοῦ τεκμήρια *om.* Δ | καὶ *recte om.* Est (*unde Ald. Maass*): *praebent* MKUAS **10–11** τοῖς ἐπερχ– τοῖς συναν– MKUAS: τοῖς συναν– τοῖς ἐπερχ– Δ **11** τοῦ ζωδιακοῦ *codd.*: τοῖς ζωδιακοῖς U **11–12** παρ' ἑκάτερα ἔν τε τῶι *om.* S *spatio idoneo relicto* **11** ἑκάτερα MΔU: ἑκατέρων K ἑκατέρου C A *evan.* **12** ἐν *ante* τῷ β– *om.* S | ἄλλοις S: ἐν τοῖς ἄλλοις M ἐν ἄλλοις ΔKAC ἐν U.

13–p. 330,8 **MΔKUAS** (*42^{r},52–42^{v},3*) *lemma* MKUA: αὐτὸς δ' ἂν μάλιστα Δ αὐτὸς δ' ἂν S **13** περὶ *secl. Maass* | τοῦ *om.* U *ut vid.* **14** κέρατα MS: κέρατος ΔK κέρα UA | τε *codd.*: *om* S | τὴν δύσιν ΔKAS: τὴν *om.* MU

καὶ γὰρ περιφερεῖς † πάλιν ἐν τῇ δύσει † κέρασίν εἰσι παραπλήσιοι. ὁ δὲ νοῦς· αὐτὸς δὲ ὁ ὠκεανὸς ἐκ τοῦ ἀνατολικοῦ μέρους καὶ τοῦ δυτικοῦ τεκμήρια δίδωσιν ἔκδηλα καθ' ἑκάστην ἡμέραν ἀνατελλόντων καὶ δυνόντων τῶν ζῳδίων καὶ τῶν λοιπῶν. καὶ γὰρ εἴτε ⟨τὰ ἐξ⟩ ἀνατολῆς ἄστρα κατέχοιτο, ἐκ τῶν δύσεων τεκμήρια ⟨ἂν⟩ σοι διδοίη, εἴτε καὶ τὰ ἐκ τῶν δύσεων, τὰ ἐξ ἀνατολῆς.

ΜΔΚUA ⟨κεράων ἑκάτερθε⟩: ἐξ ἀμφοτέρων τῶν μερῶν τοῦ ὁρίζοντος, ἔκ τε τοῦ ὑπὲρ γῆν ἡμισφαιρίου καὶ τῶν λοιπῶν μορίων, λέγει δὲ τῶν ἄστρων. τοῦτο δέ· ὁ ὠκεανὸς ἐξ ἀμφοτέρων τῶν κεράτων παρέχει τεκμήρια δι' ἄστρων, ἅπερ, ἕκαστον ἐκ τούτων, πολλὰ ἐπιστεφανοῦται ἑαυτῷ καὶ περίκειται, ὅταν ἑκάστην

---

1 γὰρ περιφερεῖς πάλιν *om.* S *spatio idoneo relicto* | πάλιν ἐν τῇ δύσει *non intellego; fortasse haec infra transferenda sunt et pro verbis* τοῦ δυτικοῦ (*l. 3*) *substituenda; hic desideratur* οὖσαι **2** νοῦς *codd.*: λόγος S **3** μέρους ΔΚUA: μέρου M κέρατος S | τοῦ δυτικοῦ MKA: τοῦ *om.* ΔUS *cf. supra ad l. 1* **3–4** –δωσιν ἔκδηλα καθ' ἑκάστην *om.* S *spatio idoneo relicto* **4–5** ἀνατελλόντων καὶ δυνόντων S: ἀνατέλλοντα καὶ δύνοντα ΜΔΚUA **5** τῶν λοιπῶν *codd.*: τῶ λοιπῶ S | καὶ γὰρ *codd.*: *om.* S | τὰ ἐξ *add. Maass* **6** ἀνατολῆς *codd.*: –λῶν S *ut vid.* ἄστρα *codd.*: ἄστρον S | κατέχοιτο ΜΔΚΑ: κατέχον U ὑπὸ ὀμβρῶν κατέχεται S *non sine causa* **7** ἂν *addidi* | διδοίη ΔΚU AS: δίδωσι M | τῶν ΜΔU: *om.* KAS | δύσεων *codd.*: δυω S *qui reliqua om. spatio relicto* | τὰ ἐξ M: καὶ τὰ ἐξ ΔΚ καὶ τὰ ἐκ τῆς U καὶ τῆς C εἴτε καὶ τὰ ἐξ A **7–8** ἀνατολῆς MKUA: –λῶν Δ.

9–p. 331,7 ΜΔΚUA *lemma restitui praeeunte Bekkero* (ἑκάτερθε): τά τε πολλὰ ΜΔ τά τε πολλὰ περιστρέφεται (*sic*) KA ὠκεανὸς U **10–11** ἔκ τε . . ἄστρων *non intellego, nec quomodo ista sanari possint video nisi forte* ἔκ τε . . . ἡμισφαιρίου *deleas et* μοιρῶν *pro* μορίων *scribas* **11** λοιπῶν MKA: *om.* ΔU | μορίων ΜΔΚU: ζῳδίων A | ἄστρων *codd.*: *an* ζῳδίων ? **11–12** τοῦτο δέ *suspectum*: τουτέστιν Est **12** ὁ *codd.*: *om.* Δ | κεράτων *Maass ex Arato*: ἄρκτων ΜΔ ἄστρων M[sl]UC ἀρκτικῶν ἄστρων KA | παρέχει ΔΚUA: παρέχοι M **13** ἕκαστον ἐκ τούτων KA: ἕκαστον ΜΔC ἐκ τούτων U **14** ἑαυτῷ ΜΔΚΑ (ἑοῖ αὐτῷ *Aratus*): αὐτῶ U *fortasse recte* | περίκειται ΜΔΚ: περίκεινται U ἐπίκειται A | ὅταν ΔU: ὅτ' ἂν M ὅτι KA

μοῖραν ἕκαστον ἄστρον ἀναφέρηται. ἐκ γὰρ τοῦ ὑπογείου κύκλου ὑποτίθεται εἶναι τὸν ἥλιον ⟨ἐν⟩ Καρκίνῳ· πρὶν δὲ ⟨ἂν⟩ ἀνέλθῃ δεῖ σκοπεῖν τά τε ἄστρα ⟨καὶ⟩ συμβάλλειν ὅτι μέλλει ἡμέρα γίνεσθαι. πάλιν μεταφέρει τὸν ἥλιον εἰς Λέοντα καί φησι „πρὶν ἀνελθεῖν τὸν Λέοντα, σκόπει τὰ παρακείμενα ἄστρα καὶ συμβάλῃς". εἶτα μετάγει ἐπὶ τὴν Παρθένον τὸν ἥλιον.

568. — ὀ π π ῆ μ ο ς : ὑφ' ἓν ἀναγνωστέον. ὃ γὰρ λέγει τοιοῦτόν ἐστιν· αὐτὸς δέ σοι ὁ ὁρίζων κατὰ ἀνατολὴν καὶ δύσιν δείξει τὰ ζῴδια ἃ περιστρέφει ἐν ἑαυτῷ (τὸ γὰρ π ε ρ ι σ τ ρ έ φ ε τ α ι ἀντὶ ἐνεργητικοῦ ἐστι) [δείξει] ὅταν ἑκάστην τῶν μοιρῶν (ἀντὶ τοῦ τῶν δωδεκατημορίων) ἀναφέρῃ, ὁπόταν ἀνατέλλουσαν παρέχηται. MΔKUAS

569. — ο ὔ ο ἱ ἀ φ α υ ρ ό τ α τ ο ι : μέλλων διεξέρχεσθαι τὸν περὶ ἀνατολῶν καὶ δύσεων λόγον, καὶ συνανατελλόντων καὶ συγκαταδυόντων τὴν ἀρχὴν ἀπὸ MΔKUAS

---

1 ἀναφέρηται ἄστρον U | ἀναφέρηται MΔU : –ρεται KA | τοῦ M KA : *om.* ΔU **2** ἐν *add. Maass* **3** ἂν *add. Maass* | ἀνέλθῃ MΔ : ἀνέρθῃ A ἀνέλθοι KU *ut vid.* | τά τε MΔA : τὰ δὲ K τὰ U | καὶ *addidi* **3–4** συμβάλλειν M : συμβάλλων Δ συμβαλεῖν KA *om.* U **4** *post* γίνεσθαι *scholii finem facit* U **6** συμβάλῃς M : συμβαλεῖς ΔKA **7** μετάγει MΔ : ἐπάγει KA.

8–14 MΔKUAS (*42v, 3–6*) *lemma* M : [ ]πτῆμος Δ ὀπτῆμος KAS νειόθεν ὀπτῆμος U **9** δέ σοι ὁ MΔKAS : γὰρ U **10** ἃ περιστρέφει *codd.* : ὡς περιστρέφεται S **11** ἀντὶ MΔKA[pc] : ἀντὶ τοῦ UA[ac]SC **12** δείξει *seclusi* | ὅταν *scripsi* : ὅτε S τότε MΔK (*post* ἑκάστην) UA | μοιρῶν *codd.* : μηνῶν K | τοῦ τῶν *codd.* : *om.* S **13** ἀναφέρῃ *scripsi* (φορέῃσιν *Aratus*) : ἀναφέρει MACS : ἀναφαίνει M[sl]A[sl]ΔK ἀναφαίνεσθαι U | ὁπόταν U : ὁπότε *codd. fortasse delendum* | ἀνατέλλουσαν Est (*unde Ald.*) : τέλλουσαν M : τελοῦσαν ΔKAS τέλλουσαι U **13–14** παρέχηται *scripsi* : παρέχεται Δ Est παρέρχεται MKAS παρέλθωσιν U.

15–p. 332,9 MΔKUAS (*42v, 6–11*) *lemma* MΔKU (–τεροι) A (τοι) S **16** τὸν *codd.* : *om.* S | λόγον *codd.* : *om.* S | καὶ *om.* U **17** *fortasse scribendum* συνανατολῶν καὶ ἀντικαταδύσεων *seclusis verbis* καὶ συνανατελλόντων καὶ συγκαταδυόντων | συγκαταδυόντων *codd.* : δυνόντων S

Καρκίνου ποιεῖται, ὃν καὶ ἐν τῇ ἀρχῇ τοῦ ζῳδιακοῦ κύκλου πρῶτον ὠνόμασε, καί φησιν ὅτι Καρκίνου ἀνατέλλοντος οὐκ ἀμαυρὰ οὐδὲ ἄσημα ἄστρα συνανατέλλει αὐτῷ καὶ ἀντικαταδύνει. δύνειν δὲ τὸν Στέφανόν φησι κατὰ τὸ ἥμισυ, καὶ τὸν Νότιον Ἰχθὺν κ α τ ὰ ῥ ά χ ι ν (572), πρὸς ἀνατολὰς ἐστραμμένων αὐτοῦ τῶν περὶ τὴν γαστέρα μερῶν. καὶ ἀντικαταδύνειν δέ φησι τὸν Ὀφιοῦχον ἀπὸ ποδῶν μέχρις ὤμων, καὶ τὸν Ὄφιν ὃν ἔχει ἐν ταῖς χερσὶ μέχρι τραχήλου.

MΔUA 572. — κ α τ ὰ ῥ ά χ ι ν: εἰς δυσμὰς φέρεται ὡς ἐπὶ τὴν ῥάχιν ὁ Νότιος Ἰχθύς. ἄνω γὰρ νένευκεν. ὅτε δὲ ταῦτα δύεται ἀνατέλλοντος τοῦ Καρκίνου, πρώτη ἢ δευτέρα ὥρα τῆς νυκτός.

MΔUAS 574. — ἐ σ χ α τ ι α ὶ β ά λ λ ο υ σ ι: πάλιν περὶ τοῦ Στεφάνου ἀναλαμβάνει, μέλλοντος ἀνατέλλειν τοῦ Καρκίνου· „τούτου γὰρ ἀνατέλλοντος, τὸ ἥμισυ τοῦ Στεφάνου ἴδοις ἂν ὑπέργειον, τὸ δ' ἄλλο ἥμισυ αἱ δύσεις προσβάλλουσι καὶ ἀφανίζουσιν, εἰς δύσιν τοῦ Στεφά-

---

1 τοῦ Καρκ– U | τῇ ΔKUAS: *om.* M **2** πρῶτον MKAS: *om.* ΔU **4** δὲ *codd.*: γὰρ Δ **6** πρὸς MΔKUC: κατὰ AS | ἀναστολὰς S **7** τῶν περὶ *codd.* (τῶν πρὸς A[pc]): καὶ τῶν περὶ S | τὴν *codd.*: *om.* Δ **7–8** καὶ ἀντικαταδύνειν δέ φησι *codd.*: δύνειν δέ φησι καὶ S *fortasse recte* **8** μέχρις K: μέχρι *codd.* **9** μέχρι *codd.*: ἄχρι Δ | τοῦ τραχήλου S.

10–13 **M** *mg inter.* (*sed sub signo alphabetico*) **ΔUA** *lemma* M: κατὰ ῥάχιν ἰχθὺς ΔA U *mutil.* **10** εἰς MΔU: εἰ AC **11** γὰρ MΔA: δὲ U *ut vid.* **12** ἀνατέλλοντος MA: ἀναστέλ– Δ U *mutil.* **12–13** πρώτη ἢ δευτέρα ὥρα MA: πρώτη ὥρα ἐστὶν ἢ δευτέρα Δ U *mutil.* **13** τῆς ΔAC: *om.* M U *mutil.*

14–p. 333,2 MΔUAS (*42v, 11–14*) *lemma* MΔUA: ἥμισυ μέν κεν (*573*) S **15** ἀναλαμβάνει MUA: διαλαμβάνει S *hic om.* Δ (*vide infra*) | μέλλοντος ἀνατέλλειν MUAS: ἀνατ– μέλοντος (*sic*) Δ **16** *post* Καρκίνου *add.* διαλαμβάνει Δ | ἀνατέλοντος Δ **17** ὑπέργειον *codd.*: ὑπόγειον S | αἱ δύσεις A: δύσει MΔUC δύσεις S **18** προσβάλλουσι *scripsi*: προσβάλλοντι M προσβάλλον Δ προσβάλον *vel* προσβάλου U προσβάλλονται AC καταβάλλουσι S *fortasse* βάλλουσι *scribendum ut in Arato* **18–p. 333,1** τοῦ Στεφάνου κατιόντος *codd.* (U *mutil.*): κατ– τοῦ Στ– S *fortasse recte* (κατερχομένου Στεφάνοιο *Aratus*)

νου κατιόντος". ἐ σ χ α τ ι ὰ ς δὲ τὰς δύσεις φησίν, ἐπεὶ καὶ π ρ ο τ έ ρ η ν (432) τὴν ἀνατολὴν λέγει.

575. — α ὐ τ ὰ ρ ὅ γ' ἐ ξ ό π ι θ ε ν: ὁ δὲ Νότιος Ἰχθὺς εἰς τοὐπίσω τραπεὶς καὶ [οὕτως] ἔχων τὴν θέσιν τὰ μὲν ὑπέρτερα, τὰ οὐραῖα, ἐν τῷ ἀφανεῖ ἔχει, τὰ δὲ ὑπὸ τὴν γαστέρα ἐν τῷ μετεώρῳ, ὅπερ βίαιόν ἐστι (τὸ ὑπέρτερα δύνειν τὰ οὐραῖα). διό τινες ἐπὶ τὸν Ἐν γόνασι τοῦτο μετενηνόχασι. τὰ γὰρ ὑπέρτερα αὐτοῦ ἐπὶ κεφαλὴν ἤδη δέδυκεν ὅτε καὶ τὸ ἥμισυ τοῦ Στεφάνου, τὰ δὲ κάτω περὶ τὴν ἐσχάτην γαστέρα ἔτι ἐν τῷ μετεώρῳ ἔχει. MΔKUAS MΔKUA

577. — τ ὸ ν δ ὲ κ α ὶ ε ἰ ς ὤ μ ο υ ς κ α τ ά γ ε ι: τὸν δὲ Ὀφιοῦχον ἀπὸ γονάτων μέχρι τῶν ὤμων ἐπὶ δυσμὰς ἄγει ἀνατέλλων ὁ Καρκίνος, καὶ τὸν Ὄφιν ἄχρι αὐχένος. μ ο γ ε ρ ὸ ν δὲ ὅτι ὅλος περὶ τὸν Ὄφιν πονεῖ. MΔKUA

578. — α ὐ χ έ ν ο ς ἐ γ γ ύ ς: τουτέστι μέχρι αὐχένος αὐτοῦ τοῦ Ὀφιούχου. MKUA

---

2 προτέρην *codd.*: πρότερον U.

3–7 MΔKUAS (*42ᵛ,14–16*) *lemma* M: αὐτὰρ ὅγ' ἐξόπισθεν ΔKUA **4** τοὐπίσω KAS: ὀπίσω MΔ τὸ ὀπίσω U | καὶ ... θέσιν *om.* Δ | οὕτως MKUA: *om.* S *seclusi* | θέσιν KUAS: δύσιν M **5** τὰ μὲν *codd.*: *om.* S | ἐν τῷ ἀφανεῖ ἔχει *codd.*: *om.* S **6** ὑπὸ γῆν γαστ– U | τῷ *codd.*: *om.* S | *post* ἐστι *finem scholii facit* S **7** τὸ *scripsi praeeunte* Est (τὸ τὰ ὑπέρτερα λέγειν τὰ οὐραῖα): τὰ *codd.* | *fortasse* τὸ ... οὐραῖα *delendum* (*cf.* S) | τὰ οὐραῖα MK: ἐναντία ΔU τὰ οὐραῖα ἢ ἐναντία A.

7–11 MΔKUA **7** τινες *codd.*: *om.* U **8** γόνασι MΔU: γούν– KA **9** ἐπὶ κεφαλὴν KA: ἐπικεφαλὴν MΔ ὑπὲρ κεφ– U | ὅτε Est (*unde Ald.*): ὅτι *codd.* | τὸ ἥμισυ MΔU: *om.* KA **10** περὶ τὴν ἐσχάτην γαστέρα MKU: ἐν τῇ ἐσχατιᾷ γαστέρι Δ | ἔτι *codd.*: *om.* U.

12–16 MΔKUA *lemma* M: τὸν δὲ καὶ εἰς ὤμους ΔUA *om.* K **13** τῶν γονάτων U **14** ὄφιν *codd.*: ὀφιοῦχον K **15** *post* αὐχένος *add.* τοῦ Ὀφιούχου Δ | μογερὸν *codd.*: μογεροῦ M | ὅλος Est: ὅλον MKUA ἀεὶ Δ **16** πονεῖ *codd.*: μογεῖ U.

17–18 MKUA *lemma* MKA: καρκίνος ἐκ γονάτων U **18** αὐτοῦ MKA: *om.* U.

MA ἄλλως: τοῦτο προσλαβεῖν ἀναγκαῖον ὅτι ὁ Ὀφιοῦχος ἅμα Διδύμοις ἀναφερομένοις ἄρχεται δύνειν ἀπὸ τῶν ποδῶν μέχρι γονάτων, ὥστε ἀκόλουθόν ἐστι τὸ νῦν εἰρημένον, καὶ οὕτως ἔχει ὁ λόγος· „μέχρι τῶν ὤμων καταφέρεται καὶ μέχρι τοῦ αὐχένος τοῦ Ὄφεως". ὀρθοῦ γὰρ αὐτοῦ δύνοντος, τὰ μέχρι τῶν γονάτων ἀπὸ τῶν ποδῶν προκαταδέδυκεν ἤδη καὶ Διδύμων ἀναφερομένων.

MΔKUA 579. — οὐδ' ἂν ἔτ' Ἀρκτοφύλαξ: οὐ πολὺς οὐδὲ ἐξ ἴσου φαίνεται ἀμφοτέρωθεν, τουτέστιν ἐκ τῶν ὑπὲρ γῆν καὶ τῶν ὑπὸ γῆν, ἀλλὰ τὸ μὲν ὀλίγον ἄνω ὑπὲρ γῆν, τὸ δὲ πλεῖον ὑπὸ γῆν. ἠμάτιος δὲ ὑπέργειος, ἔννυχος ὑπόγειος. „οὐκ ἂν οὖν εἴη πολὺς οὔτε ὑπὲρ γῆν οὔτε ὑπὸ γῆν ὁ Βοώτης τοῦ Καρκίνου ἀνατέλλοντος, ἀλλὰ τὸ πλεῖστον αὐτοῦ καταδεδυκός ἐστιν, ἐλάχιστον δὲ τὸ ἔτι ὑπὲρ γῆς". ἐπεὶ γάρ φησιν αὐτὸν τέσσαρσι ζῳδίοις ἀνατέλλουσιν ἀντικαταδύεσθαι, Ταύρῳ, Διδύμοις, Καρκίνῳ, Λέοντι, ὅταν ὁ Καρκίνος ἀνατέλλειν ἄρχηται, οὔθ' ὑπὲρ γῆν πολύς ἐστιν οὔθ' ὑπὸ γῆς. δύο μὲν γὰρ αὐτοῦ ἤδη παρελη-

---

1–8 MA **2** ἀναφερομένοις Est[pc]: –ρόμενος MACEst *ut vid.* **5** ὄφεως M: ὄφιος AC **6** τὰ M: *om.* AC.

9–p. 335,4 MΔKUA *lemma codd.* (ἀρτοφ– Δ ἔτι KA) **10** φαίνεται *codd.*: φέρεται U **11** τῶν ὑπὸ *codd.*: τῶν *om.* K **12** ὑπὲρ *codd.*: ὑπὸ M[ac] | ἠμάτιος *codd.*: ἡμ– M **13** ὑπέργειος *codd.*: ὑπέρβιος Δ | ὑπόγειος *codd.*: ὑπέργειος Δ **14** οὔτε *om.* Δ | οὔτε ὑπὸ γῆν *om.* Δ **15** τὸ πλεῖστον MU: πλεῖστον Δ τὸ πλεῖον KAC | **15–16** καταδεδυκὸς MUΔ[pc]: καταδεδυκὼς Δ[ac] δεδυκὸς KA **16** δὲ MΔU: γὰρ KAC | τὸ ἔτι ὑπὲρ γῆς MΔU (γῆν): τὸ ὑπὲρ γῆν ἐστιν K τὸ ἔστιν ὑπὲρ γῆν A | ἐπεὶ MΔU: ἐπειδὴ KAC **17** φησιν *codd.*: φασιν A | αὐτὸν *om.* Δ | τέσσαρσι M: τέτρασι ΔKUA **18** *post* ἀντικαταδύεσθαι *add.* κριῷ Δ | λέοντι *om.* Δ | *cf. Hipp. 2, 2,11–12* φασὶ γὰρ αὐτὸν τέσσαρσι ζῳδίοις ἀντικαταδύνειν, Κριῷ τε καὶ Ταύρῳ καὶ Διδύμοις καὶ Καρκίνῳ | ὅταν *codd.*: ὅτε A **19–p. 335,1** οὔθ' ὑπὲρ . . . ἀνενεχθῇ MKUA: μείων μὲν ὑπὲρ γῆς ἐστι, πλείων δὲ ὑπὸ γῆν Δ **19** γῆν MKA: γῆς U **20** γῆς MU: γῆν KA | γὰρ MKA: *om.* U | ἤδη παρεληλύθασι MU: παρεληλύθασιν ἤδη KAC

λύθασι μοῖραι, δύο δὲ ἔτι λείπονται. ὅταν δὲ ἀνενεχθῇ, τρεῖς μὲν αὐτοῦ δεδύκασι, μία δέ ἐστιν ἢ ὑπολείπεται ὑπὲρ γῆς. Ταύρου δὲ ἀνατέλλοντος, αὐτὸς δύνειν ἄρχεται.

581. — τέτρασι γὰρ μοίραις: τοῦτο ἦν αἴτιον τοῦ, ἀνατέλλοντος Καρκίνου, τὸ φαίνομενον ὑπὲρ γῆς ὀλίγον ἔχειν τὸν Βοώτην. μοίραις δὲ νῦν τοῖς ζῳδίοις. ὁ δὲ λόγος· „τέτρασι ζῳδίοις ὁμοῦ καταφερόμενον αὐτὸν δέχεται ὁ ὁρίζων". ὁ γὰρ Βοώτης ἐπιψαύει τῶν δύσεων μετὰ Χηλῶν, εἶτα μετὰ Σκορπίου καὶ Τοξότου, καὶ ὅτε ὁ Αἰγόκερως ἔρχεται ἐπὶ δύσιν, τελείως καὶ ὁλοσχερῶς δύεται. καὶ οὕτω τεσσάρων ζῳδίων ἐπέχει χρόνον ἐν τῷ δύεσθαι. ἐπειδὴ τοίνυν ἕως οὗ ⟨ἂν⟩ ἔλθῃ ὁ Αἰγόκερως εἰς δύσιν, καθ' ὃν καὶ τελείως ὁ Βοώτης δύεται, λοιπὸν Καρκίνου κατὰ διάμετρον γίνεται ἀνατολή, διὰ τοῦτό φησιν ὅτι τὸ τηνικαῦτα ἠμάτιος ὀλίγος (580) φαίνεται, ἐπειδὴ ἐν τέτρασι μοίραις δέχεται αὐτὸν ὁ ὠκεανός. διηνύσθησαν λοιπὸν Καρκίνου ἀνιόντος. MΔKUA

⟨Βοώτην⟩: Βοώτην καὶ Ἀρκτοφύλακά φησιν οὐ ἐν τῷ Mmg

---

1 δὲ ἔτι MU A: δὲ *om.* K | ὅταν MKU: ὅτε AC **2** τρεῖς μὲν MKA: αἱ τρεῖς μὲν U τρεῖς μὲν γὰρ Δ | δεδύκασι MK A: ἤδη παρεληλύθασι μοῖραι Δ μοῖραι δεδύκασι U | ἐστιν ἢ M U: ἔτι ΔKA | ὑπολείπεται MU: λείπεται Δ ὑπολέλειπται KA **3** ὑπὲρ γῆς MU: *om.* ΔKA | *post* λείπεται *hic est scholii finis in* Δ: ὅταν δὲ ἀνενεχθῇ ὁ καρκίνος, τελέως πανδυσίαν ποιεῖται ὁ βοώτης, κριοῦ δὲ ἀνατέλλοντος, αὐτὸς δύειν ἄρχεται.

5–19 MΔKUA *lemma* MΔKUA **6** καρκίνου *codd.*: *om.* U | ὑπὲρ γῆς ὀλίγον ἔχειν Δ: ὀλίγον ἔχειν (ἔχει U) ὑπὲρ γῆς (γῆν KAC) MKUA **9** ὁ ὁρίζων *codd.*: ὁ *om.* U **12** δύσιν *codd.*: τὴν δ– Δ | καὶ ὁλοσχερῶς *codd.*: *om.* Δ | δύεται *codd.*: δύ– ὁ Βοώτης Δ | οὕτω ΔU (δῦ): οὕτως KAC οὗτος M **13** ἐπέχει χρόνον (λόγον U) *codd.*: χρόνον ἔχει K **14** ἕως *codd.*: *om.* Δ | ἂν *add. Maass* | ἔλθῃ ὁ Αἰγ– *codd.*: ὁ Αἰγ– ἔλθῃ (*vel* –θοι) U **16** κατὰ *codd.*: τὰ κατὰ K | γίνεται *codd.*: γινομένου Δ | ἀνατολὴ *codd.*: *om.* Δ **17** τὸ *om.* K A *incert.* | ἠμάτιος *codd.*: ἠμ– M | ὀλίγος Δ: ὀλίγον KA ὀλίγ U ὁ λόγος M.

20–p. 336,2 M *mg* (*sub signo non alphabetico quod idem in textu v. 581 supra* βοώτην *invenitur*) *lemma addidi*

μέσῳ τῶν σκελῶν ἀνατέλλει, Ἀρκτοῦρον δὲ τὸν τῆς Παρθένου.

MΔUA 582. — ὃ δ' ἐπὴν φ ά ε ο ς: „ὁ δὲ Βοώτης ἐπὰν τοῦ φωτὸς καὶ τοῦ φαίνεσθαι κορεσθῇ ὑπέργειος ὤν". καλῶς εἶπε κ ο ρ ε σ θ ῇ, ἐπειδὴ ὑπέργειος φαινόμενος πολὺν χρόνον ἀναλίσκει, τῆς μὲν ἡμέρας ὥρας ϛ', τῆς δὲ νυκτὸς πάσας τὰς ιβ'. διὸ χαριέντως εἶπεν ἐ π ὴ ν κ ο ρ έ σ η τ α ι, ὅτι τοσοῦτον χρόνον ἀναλίσκει φαινόμενος. ἀνατέλλει γὰρ τῇ Παρθένῳ περὶ ὥραν ϛ' ἡμερινήν, ἣν καθ' ὑπόθεσιν ἐν Καρκίνῳ λάβωμεν τὸν ἥλιον· Καρκίνου ὧραι δύο, Λέοντος ὧραι δύο, Παρθένου δύο. εἶθ' οὕτως ἀνέτειλεν ὥρᾳ ϛ'. εἰ τοίνυν τὰς μὲν τῆς ἡμέρας λοιπὰς ϛ' ὥρας ἐν τῷ ὑπεργείῳ ⟨ἐστί⟩, καὶ τὰς τῆς νυκτὸς ιβ' ἕως ⟨ἂν⟩ εἰς τελείαν δύσιν δύνῃ (ἕως γὰρ ⟨ἂν⟩ οἱ Δίδυμοι ἔλθωσι φαίνεται, ἐν δὲ τοῖς Διδύμοις τὸ τῆς νυκτὸς συμπέρασμα), ἐπεὶ οὖν ὅλας ιη' ὥρας ἔμεινε φαινόμενος καὶ ὑπέργειος ὤν, διὰ τοῦτο εἶπεν· „ἐπειδὰν τοῦ φωτὸς κορεσθῇ, λοιπὸν πάλιν μέλλοντος Καρκίνου ἀνατέλλειν, ⟨ἐν⟩ τῇ δύσει ⟨τὸ⟩ πλέον ἔχει τοῦ σώματος".

MΔUA 583. — β ο υ λ υ τ ῷ ἐ π έ χ ε ι: τουτέστιν, ὅταν

---

2 *finem huius scholii sic restituit Maass*: ἀνατέλλει Ἀρκτοῦρος, τὸν τῆς Παρθένου .... *atque in apparatu critico lacunam sic explere temptat*: πατέρα, ὃν Ἰκάριον λέγουσιν ἔνιοι (*cf. Hyg. Astr. 2, 4*).

3–20 MΔUA *lemma* MΔA: ὃ δ' ἔπην φάεος κορέσηται U **4** ὑπέργειος MΔ: ὑπέργ– φαινόμενος U ὑπόγ– A | *post* ὤν *add.* καὶ τὰ ἑξῆς Δ **5** καλῶς MUA: καλῶς δὲ Δ **7** διὸ χαριέντως MUA: χαρ– δὲ Δ | εἶπεν MUA: τὸ Δ **8** κορέσηται MUA: φάεος κορ– Δ **9–10** ὥραν ϛ' MΔ: τὴν ϛ' ὥραν U ϛ' ὥραν A **10** ἡμερινὴν MUA: ἡμέρας Δ | ἣν *Maass*: ἢ *codd.* (εἰ Est) **11** λέοντος ὧραι β' MA: *om.* U ὧραι *om.* Δ **12** ἀνέτειλεν MΔU: ἀνατέλλει AC | ὥρᾳ *scripsi*: ὥρας *codd.* **13** ἐστι *add.* Est (*unde Ald.*) **14** τὰς *codd.*: τὰ U | ἂν *add.* Est | δύνῃ *scripsi*: δύνει M ἔλθῃ ΔA U *evan.* **15** ἂν *add.* Est **17** ὑπέργειος MΔ[pc]UA: ὑπόγ– Δ[ac] **18** εἶπεν *om.* U **19** ἐν *et* τὸ *add. Maass*: *cf. infra p. 337, l. 13.*

21–p. 337,7 MΔUA *lemma* MΔA βουλυτῷ U | ὅταν Δ: ὅτ' ἂν M ὅτε UAC

ὅλος ἀναχωρήσῃ τοῦ ὑπὲρ γῆν μέρους καὶ πανδυσίαν ποιήσῃ, προσλαμβάνει τῷ μεσονυκτίῳ, τουτέστι ταῖς ἓξ ὥραις τῆς νυκτός, ἄλλας ὥρας δύο, ὥστε ἐν ὀκτὼ ὥραις γίνεσθαι αὐτοῦ τὴν παντελῆ κατάδυσιν. διὸ εἶπε κεῖναί τοι νύκτες ἐπ' ὀψὲ δύοντι λέγονται (585), ἐπεὶ μακροτάτην ποιεῖται τὴν κατάδυσιν.

βουλυτὸν δὲ λέγει τὴν ἑσπέραν, καθ' ὃν καιρὸν λύον- MΔUAS
ται οἱ βόες. ἐδίδαξεν οὖν ἡμᾶς ὅτι ἓξ ὥρας ποιεῖται MUAS
τῆς ἡμέρας, τῆς δὲ νυκτὸς ιβ'. τοῦτο οὖν ἐστι τὸ δίχα ἰέναι τὴν νύκτα, διπλοῦν ἀνύειν, τοῦ καιροῦ διπλάσιον τῆς νυκτὸς πορευομένης. φησὶν οὖν· „ἐπειδὰν τοῦ φωτὸς κορεσθῇ, ἐν τῇ δύσει λοιπὸν τὸ πλεῖον ἔχει
τοῦ σώματος, ἐπειδὴ ἄκρα αὐτοῦ ἡ κεφαλὴ ἀπολείπεται MKUAS
καὶ χεῖρες, τῆς νυκτὸς τὸ τηνικαῦτα διπλάσιον ἰούσης τῶν ἓξ ἡμερινῶν ὡρῶν".

νυκτὸς ἰούσης: τὸ μὲν ὀλίγον ὑπὲρ γῆν, τὸ MΔUA

---

1 ὅλος MΔU: *om.* A | ἀναχωρήσῃ MΔ: ἄνω χωρήσῃ U ἀναχωρήσει A (ἀναχωρήσει ὅλος C) **2** ποιήσῃ MΔU: ποιήσει AC **2–3** ταῖς ἓξ ὥραις MΔU: τῇ ϛ' ὥρᾳ AC **3** ὥραις MΔU: ὅλαις ὥραις A **5** τοι *codd.*: τε U.

8 MΔUAS (*42^v,16–18*) *lemma* βουλυτῷ S **8** καθ' ὃν καιρὸν MUS: ὅτε Δ καθ' ἣν ἑσπέραν AC **8–9** λύονται οἱ βόες M: οἱ βόες λύονται ΔUAC οἱ βόες τῶν ἔργων ἀπολύονται S.

9–16 MUAS (*42^v,18–22*) **10** οὖν MUA: δὲ S **11** ἰέναι *scripsi ex Arato* (*583* δίχα νυκτὸς ἰούσης): εἶναι MA τὰ εἶναι U *om.* S | τὴν νύκτα MUA: νυκτὸς S **11–12** διπλοῦν ... πορευομ– *om.* S **11** τοῦ καιροῦ MU: τὸν καιρὸν A **12** διπλάσιον U *ut vid.* (*sic etiam Maass*): διπλασίων M διπλασίω A | πορευομένης *scripsi*: –όμενος MUA **13** τῇ MUA: *om.* S | τὸ πλεῖον (πλέον US) ἔχει MUS: ἔχει τὸ πλεῖον AC **14** τοῦ σώματος MUAS: τῷ σώματι S^{sl} | *ab* ἐπειδὴ *incipit* K | ἄκρα αὐτοῦ ἡ MKA: ἄκρα U ἡ ἄκρα αὐτοῦ S | ἀπολείπεται MKUA: ἀπολέλειπται S *qui hic finem scholii facit* **15** καὶ MKA: *om.* U | διπλάσιον UA: διπλασίων MK διπλασίω A^{sl}.

17–p. 338,9 MΔUA *lemma* MΔUA **17 sq.** τὸ μὲν ... ὑπὸ γῆν: *in* S *in textu supra v. 583 glossae loco haec legimus*: τὸ μὲν ὀλίγον ὑπὸ γῆν, τὸ δὲ πλέον ὑπὲρ γῆν (*sic*) | ὑπὲρ MΔA: ὑπὸ U

δὲ πλέον ὑπὸ γῆν, ἐν τῷ βουλυτῷ, τουτέστιν ἐν τῇ δύσει, μένει πλέον τοῦ ἡμίσεος τῆς νυκτός, εἰς δύο αὐτῆς τεμνομένης.

ὅτε Καρκίνος, φησίν, ἀνατέλλει, τότε ὁ Ἀρκτοφύλαξ τὸ μὲν ὀλίγον [ἔχων] ὑπὲρ γῆν, τὸ δὲ πλέον ὑπὸ γῆν ἔχει καὶ ἐμβραδύνει καὶ ἐγχρονίζει τῷ βουλυτῷ, οἱονεὶ τῇ δύσει, τουτέστιν ἐγχρονίζει δύνων πλέον τοῦ ἡμίσεος τῆς νυκτός, εἰς δύο αὐτῆς τεμνομένης, ὁπηνίκα τοῦ ἡλίου δύνοντος καὶ αὐτὸς δύηται.

ΜΔUA 585. — ἐ π' ὀ ψ ὲ δ ύ ο ν τ ι λ έ γ ο ν τ α ι: ὀψὲ δύων ὁ Βοώτης διὰ τὸ δ′ μοίρας, τουτέστιν η′ ὥρας, ἐπέχειν αὐτόν. Ὅμηρος (ε 272)· „ὀψὲ δύοντα Βοώτην", ἀντὶ τοῦ βραδέως δυόμενον. αὗται δὲ μάλιστα αἱ περιφοραὶ ὀ ψ ὲ δ ύ ο ν τ ο ς ἂν κληθείησαν, οὐ μόνον διὰ τὸ τὰς ἐν τῷ καταφέρεσθαι ὀκτὼ ὥρας ἐπέχειν, ἀλλ' ὅτι καὶ ιη′ ὧραι γεγόνασιν ἕως οὗ ⟨ἂν⟩ παντελῶς δύηται. αὗται οὖν αἱ νύκτες μάλιστα ἐ π' ὀ ψ ὲ δ ύ ο ν τ ι ἂν κληθείησαν.

ΜΔUA 586. — ὡ ς ο ἳ μ ὲ ν δ ύ ν ο υ σ ι: τοῦτον τὸν

1 ὑπὸ γῆν ΜΔ: ὑπὲρ γῆν U *om.* A **2** δύσει ΜΔΑ: δυνάμει U | ἡμίσεος MUA: -σεως Δ **4** Καρκ- ΜΔU: ὁ Καρκ- AC | Καρκίνος φησὶ ΜΔΑ: καρκῖνος βραδύνει ἐξ καὶ (*s. l.*) ἂν (*s. l.*) φησι U **5** ἔχων *secl. Maass* | ἔχων ὑπὲρ γῆν ΜΔU: ὑπὲρ γῆν ἔχων A **6** ἔχει MUA: *om.* Δ | ἐμβραδύνει ΜΔ (ἐνβρ-) A: ἂν βραδύνῃ U | καὶ ἐγχρονίζει ΜΔΑ: ἐξ καὶ ἂν χρονίζῃ U | οἱονεὶ MA: τουτέστι Δ ἤτοι U **7** δύσει ΜΔΑ: δυνάμει U | τουτέστιν ἐγχρ- MUA: ἐγχρ- γὰρ Δ | ἡμίσεος MUA: ἡμίσος Δ *ut vid.* **8** αὐτῆς ΜΔΑ: *om.* U **9** δύηται MUA: δύεται Δ.

10–18 ΜΔUA *lemma* ἐποψὲ δύοντι λέγονται MA: [ἐ]π' ὀψὲ δύοντι Δ ἐποψὲ U **11** δύων ΜΔ: δύνων UAC | ὁ βοώτης MUA: λέγει Δ | τὸ δ′ μοίρας *scripsi*: τῶν δ′ μοιρῶν ΜΔ τῶν τεσσάρων μοιρῶν U τῶν διμοίρων ὡρῶν A **12** ἐπέχειν ΜΔU: -χων AC | Ὅμηρος MU: καὶ Ὅμ- ΔΑ | ὀψὲ *codd.*: *om.* U | δύοντα ΜΔ: δύνοντα U δύοντι AC **13** ἀντὶ τοῦ . . . δυόμενον MUA: *om.* Δ **14** δύοντος ΜΔ: δύνοντος UA **15** διὰ τὸ M: δὲ Δ διὰ UAC | καταφέρεσθαι ΜΔU: κάτω φέρ- A **16** ιη′ ΜΔU: η′ A | ἂν *suppl. Maass* (ἕως ἂν *iam* Est, οὗ *omisso*) **17** οὖν ΜΔΑ: *om.* U **17–18** δύοντι MA: δύνουσι Δ δύνονται U **18** ἂν κληθείησαν MUA: κληθεῖσαι Δ.

19–p. 339,7 ΜΔUA *lemma* ΜΔUA

τρόπον οἱ προειρημένοι δύνουσιν, ὁ Στέφανος, ὁ Ἐν γούνασι, καὶ ὅσα προεῖπε. [καὶ ἐν τῇ δύσει τὰ ιβʹ σημεῖα. λοιπὸν δὲ καὶ ἀπὸ ἀνατολῆς.] ἀνατέλλει δὲ ὁ Ὠρίων λαμπρὸς ὢν κατὰ τὴν ζώνην καὶ τοὺς ὤμους, ἔχων δὲ κἂν τῷ ξίφει λαμπροὺς ἀστέρας γʹ. συναναφέρει καὶ Ποταμὸν κ έ ρ α ο ς ἄ λ λ ο υ (589), τουτέστιν ἀνατολικοῦ μέρους.

ὁ δ' ἀ ν τ ί ο ς: τὰ μὲν οὖν προειρημένα ζῴδια ἀνατέλλοντι τῷ Καρκίνῳ ἀντικαταδύνει, ὁ δὲ Ὠρίων συνανατέλλει αὐτῷ, οὐκ ἀπρεπής, ἀλλὰ καὶ τὴν ζώνην εὐδηλοτάτην ἔχων καὶ τοὺς ὤμους καὶ τὸ ξίφος. ἀνατέλλειν δὲ τὸν Ἠριδανὸν ποταμὸν ⟨ποιεῖ⟩ καὶ ὅλον θεωρεῖσθαι ὑπὲρ τὸν ὁρίζοντα. MΔUAS

590. — ἐ ρ χ ο μ έ ν ῳ δ ὲ Λ έ ο ν τ ι: ἀνατέλλοντος δὲ τοῦ Λέοντος, ὅσα μὲν ἀντικατέδυνε τῷ Καρκίνῳ παντελῆ ποιεῖται τὴν κατάδυσιν. δύνει δὲ ὁ Ἀετός, τοῦ δὲ Ἐν γόνασι τὰ ἄλλα μέρη δέδυκεν, τὸ δὲ γόνυ τὸ λαιὸν καὶ ἡ κνήμη καὶ ὁ ποὺς ἀκμήν εἰσιν ὑπὲρ γῆν. MΔKUAS

1–2 ἐν γούν– MA: ἐν γόν– ΔU **2–3** καὶ .. ἀνατολῆς *non intellego, ista emendare sic* Est *conatus est*: εἰπὼν δὲ περὶ τῶν ἀπὸ δύσεως δώδεκα ζωδίων σημείων, νῦν καὶ περὶ τῶν ἀπ' ἀνατολῆς λέγει; *secludere malui* | σημεῖα MΔU: ζώδια ἢ σημεῖα A **3** ὁ MUA: καὶ ὁ Δ **4** κατὰ MΔA: *om.* U **5** δὲ MΔA: τε U | κἂν MΔU: καὶ AC.

8–13 **MΔUAS** (*42ᵛ,22–27*) *lemma* MΔUA: ὡς οἱ μὲν δύνουσι S **8** τὰ μὲν οὖν MΔUA: καὶ τὰ μὲν S **10** αὐτῷ US: αὐτοῖς MΔA **11** εὐδηλοτάτην ἔχων MΔUA: ἔχων εὐδήλωτον S *fortasse recte* **12** δὲ τὸν Ἠρ– MUAS: δὲ καὶ τὸν Ἠρ– Δ | ποιεῖ *supplevi*: φησι *Maass post* ὁρίζοντα.

14–18 **MΔK** (*post sch. 596 infra p. 341, l. 9*) **UAS** (*42ᵛ, 27–31*) *lemma* MΔKUA: ἐρχομένω λέοντι S **15** ὅσα MΔKUA: ὅσαι S | ἀντικατέδυνε MΔKA: ἀντεκατέδυνε U ἀντικαταδύνουσι S **16** δὲ ὁ MS: δὲ καὶ ὁ ΔKUA | Ἀετὸς MS: ἀετὸς ὅλος ΔKA ἀρτὸς ὅλος U **17** τοῦ δὲ MΔUA: τοῦ S | ἐν γόνασι MUS: ἐν γούν– ΔKA | ἄλλα MΔKUS: ὅλα A | δέδυκεν MΔUA: δεδύκασι S **18** τὸ λαιὸν MΔUA: πολαιὸν S | ἡ κνήμη καὶ ὁ ποὺς *codd.*: ὁ ποὺς καὶ ἡ κνήμη K | ἀκμήν εἰσιν MΔKUA: *om.* S | ὑπὲρ γῆν MΔKU: ὑπὸ γῆν A ὑπέργεια S.

MΔUAS 594. — ἀ ν τ έ λ λ ε ι δ' Ὕ δ ρ η ς κ ε φ α λ ή: συνανατέλλει δὲ τῷ Λέοντι ἡ κεφαλὴ τῆς Ὕδρας, ὁ Λαγωός, ὁ Προκύων, καὶ τοῦ μεγάλου Κυνὸς οἱ ἐμπροσθίοι πόδες.

MΔUA τὸ δὲ χ α ρ ο π ὸ ς ἤτοι λαμπρός. καὶ ἐν τῇ ἀνατολῇ τοῦ Καρκίνου ἡ κεφαλὴ τοῦ Λαγωοῦ ἄκρως ἦν ἀνατείλασα, ἀλλ' ἐπειδὴ οὐ δυνατὸν ἦν ἄκρας μόνης κεφαλῆς μνημονεῦσαι, οὕτω μικροῦ ἄστρου, ὅτε σὺν τῷ Λέοντι πᾶσα ἀνῆλθεν, εἶπε καὶ ἐμνημόνευσεν.

MΔKUAS 596-606. — ο ὐ μ έ ν ϑ η ν: περὶ τῆς τοῦ Λέοντος φάσεως ἱκανῶς εἰπών, λοιπὸν καὶ περὶ τῆς ἀνατολῆς τῆς Παρθένου τεκμήρια δίδωσιν· ,,ἡ δὲ Παρθένος ἀνατέλλουσα οὐκ ὀλίγους ἀστέρας ὑπὸ τὸν ὁρίζοντα βάλλει, ἀλλὰ πολλοὺς εἰς δύσιν κατάγει". καὶ λέγει ποίους. ,,ἡ γὰρ Ἀρκαδικὴ τοῦ Ἑρμοῦ Λύρα, καὶ ὁ Δελφίς, καὶ ὁ ὑπὸ τὸν Ἀετὸν Οἰστὸς [οὗτοι γὰρ] ὑπὸ δυσμὰς φέρονται, σὺν τούτοις καὶ τοῦ Κύκνου τὰ πρῶτα πτερὰ περὶ ἄκρους τοὺς ὤμους ἄχρι καὶ τῆς οὐρᾶς δύνει, καὶ τοῦ Ἠριδανοῦ τὰ ἄκρα ἄρχεται σκιάζεσθαι

1–4 MΔKUAS (*42ᵛ,31–33*) *lemma* **MA**: ἀντέλλει δ' ὕδρης **ΔKU** (ἀνατ–) **S** **2–3** συνανατέλλει .... ὁ Λαγωός *om.* **S** **2** ἡ κεφ– **MKUA**: καὶ ἡ κεφ– **Δ** | ὁ Πρ– **MKUAS**: ὅ τε Πρ– **Δ** **4** *post* πόδες *add.* **S** ὁ λαγωὸς καὶ ἡ κεφαλὴ ὕδρας συνανατέλλει τῷ λέοντι.

5–9 MΔKUA **8** οὕτω μικροῦ **ΔU**: οὕτω σμικροῦ **M** οὕτως μικροῦ **KA** | ὅτε **MKUA**: ὅπερ **Δ** **9** εἶπε καὶ **MΔKA**: *om.* **U.**

10–p. 341,9 MΔK (*ante sch. 590*) **UAS** (*42ᵛ,34–49*) *lemma* **MΔAS**: οὐ μέν ϑην ὀλίγους **U** *om.* **K** **10** τῆς *codd.*: *om.* **Δ** **11** φάσεως **MU**: φάνσεως **KAS** *om.* **Δ** | ἱκανῶς *codd.*: –νοὺς **S** | εἰπὼν **KUAS**: εἶπε **M** διεξελθὼν **Δ** | τῆς ἀν– *codd.*: τῆς *om.* **A** **12** τεκμήρια **MΔUA**: –ριον **KS** **13** ὑπὸ *codd.*: ἐπὶ **S** **14** πολλοὺς *codd.*: πολλὰ **K** | εἰς δύσιν *codd.*: *om.* **U** | κατάγει *codd.*: ἄγει **S** **16** ἀετὸν *codd.*: ἀρτὸν U^{ac} (*cf. supra ad p. 339, l. 16*) | οὗτοι γὰρ **MKUA**: οὗτοι **Δ** *om.* **S** *seclusi* **16–17** ὑπὸ δυσμὰς **MΔKA**: πρὸς δυσμὰς **U** ὑπὸ δυσί (*sic*) **S** **17** καὶ τοῦ Κύκνου *codd.*: δὲ τοῦ Κύκνου **S** | πρῶτα *cod.*: *om.* **S** **18** ἄκρους *codd.*: ἄκρας **A** **19** σκιάζεθαι **MKACS**: βιάζεσθαι **ΔU**

(λοιπὸν γὰρ καὶ ἡ ἀρχὴ τοῦ Ἠριδανοῦ πρὸς δυσμὰς φέρεται· καὶ παρήοροι οἱ ἐν τοῖς ἄκροις ὄντες), τοῦ δὲ Ἵππου ἡ κεφαλὴ καὶ ὁ αὐχὴν δύνει. ἀνατέλλει δὲ ἡ Ὕδρα ἐπὶ πλέον ἕως τοῦ Κρατῆρος· ἀναφέρονται δὲ οἱ ὀπίσθιοι πόδες τοῦ Κυνὸς καὶ ἡ πρύμνα τῆς Ἀργοῦς". ἐμφαντικῶς δὲ εἶπεν ἕλκων ἐξόπιθεν πρύμναν (604). „ἡ δὲ ἡμίτομος οὖσα καὶ μέχρι τοῦ ἱστοῦ κατηστερισμένη ἐμφαίνεται ὅταν ἀνατέλλῃ ὅλη ἡ Παρθένος."

603. — φθάμενος δὲ Κύων: ὁ δὲ Σείριος τοὺς ὀπισθίους πόδας ἀναιρεῖται, φθασάντων τῶν ἐμπροσθίων. διὸ εἶπε φθάμενος, ὅτι τοὺς ὀπισθίους φθάνει πόδας ἀνατέλλων. ΜΔKUA

605. — ἡ δὲ θέει γαίης: λείπει ἡ ὑπὲρ πρόθεσις, ἵν' ᾖ ὑπὲρ γαίης. ἡ δὲ Ἀργὼ φέρεται ὑπέργειος κατὰ τὸν ἱστὸν διχαζομένη. ὁ γὰρ ἱστὸς ἐπ' ἄκρου ἐστὶ διχοτομήματος, ἐπειδὴ ἡμίτομός ἐστιν. ἐν γὰρ τῷ μέσῳ τῆς νηός ἐστι, διὸ καὶ ὁ τόπος ἔνθα κεῖται μεσόδμη καλεῖται. ὁ δὲ λόγος· „ἡ δὲ Ἀργὼ πᾶσα ΜΔKUAS

1–2 *parentheseos signa posui* **1** πρὸς ΜΔKA: περὶ U ἐπὶ S **2** φέρεται *codd.*: *om.* S | παρήοροι *codd.*: οἱ παρ– Δ | δὲ *codd.*: *om.* S **3** ἡ κεφ– καὶ ὁ αὐ– *codd.*: ἡ *et* ὁ *om.* AC **5–6** τῆς Ἀργοῦς *codd.*: *om.* S **6** ἐμφ– *codd.*: ἐκφ– U *ut vid.* | ἐξόπιθεν Δ: –πισθεν MKUAS **8** ἱστοῦ ΜΔ: οἰστοῦ KUA | ἐμφαίνεται M[sl]ΔS: ἐμφέρεται M φέρεται U φαίνεται KAC | ὅταν *codd.*: ὅτε S | ἀνατέλλῃι *codd.*: –τέλλει S **9** ὅλη ἡ MKACS: ὁ ἥλιος ἡ Δ ὁ ἥλιος U | *nunc praebent* ΜΔKUA *sub lemmate* ὑπὸ νείατα βάλλει (*596*) *scholium ad v. 607 pertinens quod suo loco infra invenies.*

10–13 ΜΔKUA *lemma* ΜΔKA: φθάμενος δὲ U **11** ἀναιρεῖται *codd.*: ἀναιρεῖ U **13** φθάνει πόδας MU: πόδας φθάνει ΔA πόδας οὐ φθάνει K | ἀνατέλλων ΔKUA: –τέλλει M.

14–p. 342,2 ΜΔKUAS *(42ᵛ, 49–43ʳ, 1)* *lemma* ΜΔKU (ὁ δὲ) A: ἡ δὲ θέει S **15** ὑπὲρ γαίης *codd.*: ὑπὲρ γαῖαν S | *post* γαίης *add.* ὁ δὲ λόγος Δ | δὲ ΜΔUS: γὰρ KAC | φέρεται ΔKUAS: φαίνεται M **16** ἱστὸν ΜΔKS: οἰστὸν UA | ἱστὸς *codd.*: οἰστὸς U **17** ἐπειδὴ MS: ἐπεὶ ΔUAC ἐπεὶ καὶ K **18** νηὸς MKAS: νυκτὸς ΔU | ἔνθα κεῖται *om.* S | κεῖται *codd.*: ἔκειτο U **19** λόγος *codd*: νοῦς Δ | πᾶσα *codd.*: ἅπασα U

ὑπέργειος φέρεται, ἥτις κατὰ τὸν ἱστὸν ἔχει διχοτόμημα, ὁπηνίκα πᾶσα ἡ Παρθένος ἀνατείλῃ,

MKA περαιόθεν δὲ ἐκ τοῦ ὑπὸ γῆν μέρους ἀνέλθῃ."

MΔKUA 607. — ⟨ἐπερχόμεναι Χηλαί⟩: ἱκανῶς περὶ τῶν τῆς ἀνατολῆς τῆς Παρθένου τεκμηρίων ἐπεξελθών, ἐπὶ Χηλὰς ἔρχεται καί φησιν· „ἐπερχόμεναι δὲ αἱ Χηλαὶ καὶ μέλλουσαι ἀνατέλλειν, εἰ καὶ λεπτὰ φαίνουσι καί εἰσιν ἀμαυραί, ἄγνωστοι καὶ ἀκατάληπτοι παρέρχονται οὐδαμῶς, ἐπειδὴ μετ' αὐτῶν τεκμήριον ὁ Βοώτης ἅπας ἀθρόως ἀνατέλλει καταλαμπόμενος τῷ Ἀρκτούρῳ ἀστέρι, ὅς ἐστι μέσος αὐτοῦ τῶν μερῶν, περὶ τὸ ἐν τοῖς μηροῖς ζῶμα".

MΔKUA 607-610. — οὐδ' ἂν ἐπερχόμεναι: ἀλλ' οὐδὲ αἱ Χηλαὶ ἐπερχόμεναι, τουτέστιν ἀνατέλλουσαι, ἀσημείωτοί εἰσι. συνανατέλλει γὰρ αὐταῖς ὁ Βοώτης. ἀθρόος δὲ εἶπε τὴν ἰδιότητα τῆς ἀνατολῆς δηλῶν, ὅτι τὰ ἐν πολλῷ χρόνῳ δύνοντα ἀθρόως ἀνατέλλει, ἐκ δὲ τῶν ἐναντίων τὰ ταχέως δύνοντα πλείονι χρόνῳ τὰς ἀνατολὰς ποιεῖται, ὥσπερ ὁ Ὠρίων. ἡ δὲ Ἀργὼ μετέωρος ἤδη πᾶσα· μέρη γὰρ αὐτῆς συνα-

---

2 πᾶσα ἡ Π– *codd.*: ἡ Π– πᾶσα S | ἀνατείλῃ *codd.*: –τέλλῃ S.

3 MKA ἀνέλθῃ **MA**: –θοι **K** | *in fine add.* εἰς ἀνατολήν **KA**.

4–12 MΔKUA *cf. supra ad p. 341, l. 9* *lemma restitui*: ὑπὸ νείατα βάλλει (*596*) **MΔKA** ||||||λουσαι **U** *ut vid.* (*fort.* ἀντέλλουσα *v. 597*) **5–6** ἐπεξελθὼν **M**: ὑπεξ– **ΔKUAC** **6** ἐπὶ *codd.*: ὑπὸ **A** **7–8** λεπτὰ (λεπταὶ **KUA**) ... ἀμαυραί **MKUA**: ἀμαυραί εἰσιν **Δ** **8** ἄγνωστοι *codd.*: καὶ ἄγν– **U** **9** παρέρχονται οὐδαμῶς *codd.*: οὐδ– παρ– **Δ** | ἐπειδὴ μετ' *codd.*: ἐπειδήπερ **Δ** **10** ἀθρόως **MΔU**: *om.* **KA** | καταλαμπόμενος **MΔU**: καὶ καταλ– **KA** (καὶ λαμπόμενος **C**) **11** μερῶν **MΔU**: ἡμερῶν **KA** *an* μηρῶν? *cf. supra p. 335, ll. 20sqq.* **12** μηροῖς *codd.*: μοιροῖς **U**.

13–p. 343,5 MΔKUA *lemma* **MΔKUA** **15** ἀσημείωτοι *codd.*: ἀσημειώτατοι **A** | συνανατέλλει γὰρ *codd.*: καὶ γὰρ συν– **U** **16** ἀθρόος *codd.*: ἀθρόως **U** **17** χρόνῳ δύνοντα *codd.*: δύνοντα χρόνω **U** **19** ὁ *codd.*: *om.* **M** **20–p. 343,1** ἡ δὲ ... Λέοντι ὥστε *om.* **Δ** | μετέωρος **M**: μετήωρος **K** μετέωρα **U** μετήορος **A** **20** μέρη **KUAC**: μέρει **M**

νατέλλει Λέοντι, ὥστε ὁμοῦ ταῖς Χηλαῖς τὴν πᾶσαν ἀνατεταλκέναι. γραπτέον δὲ οὐ μάλα πᾶσα, ἐπειδὴ οὐχ ὅλη κατηστέρισται, καθὼς εἴπομεν, ἀλλ' ἡμίτομος. τὸ δὲ βεβολημένος ἀντὶ τοῦ καταλαμπόμενος τῷ Ἀρκτούρῳ.

611. — ἀλλ' Ὕδρη: ἐπειδὴ εἶπεν „ὅτε ἄνεισιν ὁ Λέων, ἡ κεφαλὴ τῆς Ὕδρας φαίνεται (594), ὅτε ἡ Παρθένος, ἀνατέλλει μέχρι τοῦ Κρατῆρος (602-603), ὅτε αἱ Χηλαί, λοιπὸν ἅπαν τὸ σῶμα πλὴν μόνης τῆς ἄκρας οὐρᾶς (612)", ἐπάγει εἰκότως ὅτι πολλή τίς ἐστιν ἐν οὐρανῷ κειμένη. MΔKUAS

ἄλλως: ⟨ἀλλ' Ὕδρη⟩ ἀντὶ τοῦ καὶ ἡ Ὕδρα φαίνεται πᾶσα. MΔKUA

οἱ δὲ οὕτως ἤκουσαν ⟨τὸ⟩ Ἀργὼ δ' οὐ μάλα πᾶσα μετήορος, ὅτι οὐ τὸ τηνικαῦτα ἡ Ἀργὼ ἐστι μετήορος, ἀλλὰ καὶ πρὶν τὴν πᾶσαν ἀνελθεῖν Παρθένον. ὅτε μέντοι ἡ πᾶσα ἀνέρχεται, τότε καὶ ἡ Ὕδρα ὁλοσχερῶς φαίνεται. MΔKUAS

615. — αἰεὶ γνύξ: τοῦ δὲ διὰ παντὸς γνὺξ MΔKUAS

---

1 ὥστε KUAC: ὥσπερ M **2** ἀνατεταλκέναι *codd.*: συναναταλ– U **3** καθὼς εἴπομεν *codd.*: *om.* Δ **4** βεβολημένος MΔA: βεβλημένος KU **4–5** καταλαμπόμενος *scripsi, cf. supra p. 342, l. 10*: καταλαμβανόμενος *codd.*

6–11 MΔKUAS (*43^{r},1–5*) *hoc scholium sine ulla distinctionis signo cum praecedenti coniungunt* KUAC *lemma* S: χηλαὶ καὶ λεπτὰ φάουσαι (φαίνουσαι KAC) MKUAC καὶ λεπτὰ φάουσαι Δ **6** ὅτε MΔKA: ὅτι US **7** ὅτε MKAS: ὅτι ΔU **9** ὅτε MKAS: ὅτι ΔU | μόνης *codd.*: τῆς ὕδρας μόνης U **10–11** τις ἐστιν M: τις ΔKUAC τῶν S **11** *post* κειμένη *add.* S γ' ζώδια ἐπέχει, Καρκίνον, Λέοντα, Παρθένον.

12–13 MΔKUA ἄλλως MKUA: ἀργὼ δ' οὐ μάλα πᾶσα Δ | ἀλλ' Ὕδρη *addidi* | καὶ *codd.*: *om.* Δ **13** φαίνεται πᾶσα MΔ: πᾶσα φαίνεται KUA.

14–18 MΔKUAS (*43^{r},20–24 non suo loco*) **14** οἱ δὲ *codd.*: τινές S | τὸ *add.* Est **14–15** Ἀργὼ.... μετήορος *om.* S | μάλα πᾶσα MΔ^{pc}: πᾶσα μάλα Δ^{ac}KUAC | μετήορος *codd.* Δ^{pc}: περήορος Δ^{ac} **15–16** ὅτι ... μετήορος *om.* U | οὐ MKAS: *om.* Δ | *an* μετέωρος ? **16** πρὶν *codd.*: πρὸς U **17** ἡ πᾶσα ἀν *om.* S *spatio idoneo relicto* | ἡ *ante* πᾶσα *om.* K.

19–p. 344,3 MΔKUAS (*43^{r},6–9*) *lemma* MΔKUAS

πεπτηῶτος (λέγει δὲ τοῦ Ἐν γούνασιν) αἱ Χηλαὶ ἀνιοῦσαι μόνην τὴν δεξιὰν κνήμην μέχρι αὐτῆς τῆς ἐπιγουνίδος ἄγουσιν.

MΔUAS α ἰ ε ὶ δ ὲ Λ ύ ρ ῃ ⟨π α ρ α π ε π τ η ῶ τ ο ς⟩: τοῦ ἀεὶ ἐν γόνασιν ὄντος καὶ πλησίον τῆς Λύρας ὀκλάζοντος. τοῦτο πρὸς τὴν διδασκαλίαν αὐτοῦ τῆς θέσεως. πλησίον γάρ ἐστι τῆς Λύρας, εἴγε ἐν τοῖς πρώτοις εἶπε γ ο ύ ν α τ ί ο ἱ σ κ α ι ῷ π ε λ ά ε ι (272).

MΔKUAS 617. — ἀ μ φ ό τ ε ρ ο ν δ ύ ν ο ν τ α: δύνειν καὶ πάλιν φησὶ τὸν Ἐν γούνασι καὶ διὰ τῆς αὐτῆς νυκτὸς ἀνιέναι, ἐπειδὴ τῶν ἀμφιφανῶν ἄστρων ἐστίν. ἀμφιφανῆ δὲ τὰ ἐπὶ δεξιὰ τοῦ θερινοῦ τροπικοῦ, ὅσα ἀρχομένης νυκτὸς ἀνατέλλοντα φαίνεται, ὥσπερ καὶ ὁ Ἀρκτοῦρος.

MΔKUA 618. — π ο λ λ ά κ ι ς α ὐ τ ο ν υ χ ε ί: κατὰ τὴν

---

1 πεπτηῶτος *codd.*: –ηότος S | γούνασιν MKA: γόνασιν ΔUS | *ante* αἱ χηλαὶ *add.* ὄντος K οὕτω A **2–3** μόνην... ἄγουσιν *codd.*: μέχρι αὐτῆς τῆς ἐπιγουνίδος τὴν δεξιὰν κνήμην μόνην ἄγουσιν Δ **2** μόνην MΔKA: μόνον U *ut vid.* μόλις S | μέχρι *codd.*: μέχρις S | αὐτῆς MΔS: *om.* KUA | τῆς *codd.*: *om.* S.

4–8 **MΔUAS** (*43ʳ,9–12*) *lemma restitui*: αἰεὶ δὲ λύρῃ MΔUA *om.* S **4** τοῦ *scripsi*: τῶι MΔUS τὸ A **5** γόνασιν MUS: γούνασιν ΔA | ὄντος *scripsi*: ὄντι *codd.* | καὶ πλησίον US: καὶ *om.* MΔA | ὀκλάζοντος *scripsi*: ὀκλάζοντι MΔUA ὀκλάξ S **6** τοῦτο ... θέσεως *om.* S | τοῦτο A: τούτω M (*signo* ·/ *suprascripto*) ΔU *ut vid.* | αὐτοῦ *scripsi*: οὐ τῶι MΔ οὕτω U οὐ τὸ AC **7** γάρ MΔAS: δέ U | τοῖς πρώτοις MΔAS (*exspectaveris* προτέροις, *sed cf. sch. 796 p. 399, l.7*): τῶ (*ut vid.*) πρώτω U **7–8** γούνατί οἱ σκαιῷ πελάει MΔUA: γουνάτιον (–τί– S^ac) οἱ ὥς κε πελάσῃ S.

9–14 **MΔKUAS** (*43ʳ,12–16*) *lemma* MΔKUAS **9–10** καὶ πάλιν *codd.*: *om.* Δ **10** τὸν ἐν γ– καὶ *om.* S | γούνασι MKA: γόν– ΔU | καὶ διὰ MKA: καὶ πάλιν διὰ Δ διὰ S *om.* U **11** ἀνιέναι *codd.*: *om.* S | ἄστρων S: *om. codd.* | *post* ἐστιν *haec in* A *leguntur*: ὃν συμβέβηκε διὰ τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι καὶ ἀνατέλλοντα καὶ δύνοντα (*cf. infra p. 345, ll. 2–3*) **12** δὲ *codd.*: γὰρ A | ἐπὶ δεξιὰ U: ἐπιδεξιὰ M ἐπὶ δεξιᾶ ΔS ἐπιδέξια K ἐπὶ δέξια AC **13** φαίνεται MUAS: φαίνονται ΔK.

15–p. 345,18 **MΔKUA** *lemma* MKA: πολλάκις αὐτονυχὶ ΔU

αὐτὴν νύκτα. ὁ δὲ Ἐν γόνασι τῶν ἀμφιφανῶν ἄστρων ἐστίν, ὃν συμβέβηκε διὰ τῆς αὐτῆς νυκτὸς θεωρεῖσθαι ἀνατέλλοντα καὶ δύνοντα. μεταξὺ γὰρ τοῦ ἀρκτικοῦ κύκλου κατεστήρικται, ὃν ἔοικεν ἀειφανῆ τυγχάνειν, καὶ [μεταξὺ] τοῦ θερινοῦ τροπικοῦ, ὃν παρέδωκε (498-499) πέντε μέρη τῶν ὀκτὼ ὑπέργεια ἔχειν, καὶ τρία ὑπόγεια. ὅταν οὖν ὁ ἥλιος τὸν χειμερινὸν τροπικὸν διοδεύῃ, ἔχοντος αὐτοῦ τῶν ὀκτὼ μερῶν τὰ πέντε ὑπόγεια, τὰ δὲ τρία ὑπέργεια, τῆς νυκτὸς κατ' ἐκεῖνον τὸν καιρὸν δέκα καὶ πέντε ὡρῶν γινομένης, ὁ Ἐν γούνασι, μεταξὺ τοῦ θερινοῦ καὶ τοῦ ἀρκτικοῦ κύκλου τεταγμένος, περιενηνεγμένος ἤδη διὰ τῆς ἡμέρας τὸ ὑπέργειον μέρος, ποιεῖται τὴν δύσιν ἀπὸ πρώτης ⟨ὥρας τῆς⟩ ἡμέρας ἀναγκαίως, καὶ περὶ ὥραν ἐνάτην τῆς ἡμέρας ἀνατέλλων εὑρίσκεται.

σὺν ταῖς Χηλαῖς καὶ [τῷ Τοξότῃ] τὸ ἥμισυ τοῦ Στεφάνου συνανατέλλει, καὶ τοῦ Κενταύρου ⟨τὰ⟩ πρὸς τὴν οὐράν.

τοῦ μὲν ἄρ' οἴῃ: σὺν ταῖς Χηλαῖς, φησί, MΔKUA

---

1 γόνασι MΔU: γούν– KA 1–3 τῶν ἀμφιφανῶν . . . δύνοντα *codd.*: ὡς ἀμφιφανής, διὰ τῆς αὐτῆς (νυκτὸς *om.*) θεωρεῖται ἀνατέλλων καὶ δύνων Δ 1 ἄστρων M: ἀστέρων KA *om.* U 3 ἀνατέλλοντα M: καὶ ἀνατ– KUA 4 κατεστήρικται MΔU: κατηστέρισται KAC 4–5 ἔοικεν ἀειφανῆ τυγχάνειν καὶ *codd.*: *om.* Δ 4 ἀειφανῆ MKU: ἀμφιφανῆ A 5 μεταξὺ *seclusi* | ὃν *codd.*: *om.* Δ 6 καὶ τρία MKA: τὰ δὲ τρία Δ U *evan.* 8 διοδεύηι MKA: –εύει Δ U *ut vid.* | τὰ πέντε ΔKU: τὰ πέντε μέρη MAC 8–9 ὑπόγεια MΔU: ὑπέργεια KA 9 τὰ δὲ . . . ὑπέργεια *om.* U | ὑπέργεια MΔ: ὑπόγεια KA 10 δέκα (ι') καὶ πέντε *Maass ex Ald.* (ιε' Est): καὶ ε' *codd.* | ὡρῶν Est, *unde Ald.*: ὥραις *codd.* | γινομένης Est: γινόμενος MKU γενόμενος ΔA | γούνασι MKA: γόν– ΔU 11 τοῦ θερ– *codd.*: καὶ τοῦ θερ– K 12 *ante* περιεν– *add.* καὶ A *fortasse recte* 13–14 ὥρας τῆς *add.* Est 14 ἐνάτην *edd.*: ἐννάτην M θ' ΔKA U *evan.* | τῆς *codd.*: τὰς K 15 ἀνατέλλων MKA: *om.* ΔU | *post* εὑρίσκεται *distinxi, non codd. edd.* 16–18 *ad Arati versus 625–626 spectant* 16 τῶι Τοξότηι *codd.*: *seclusi* 17 Κενταύρου *Maass*: μὲν ταύρου MΔU ταύρου KA | τὰ *add. Maass.*

19–p. 346,2 MΔKUA *lemma codd.* (ἄρ' ΔKU ἄρ MA)

τοῦ Ἐν γούνασιν ἡ κνήμη φαίνεται μέλλοντος ἀνιέναι τοῦ Ζυγοῦ. ἀνέλαβε δὲ τὸ προειρημένον.

MΔKUAS 620. — αὐτὸς δ' ἐς κεφαλήν: ἡ μὲν κνήμη, φησίν, αὐτοῦ φαίνεται μελλουσῶν ἀνιέναι τῶν Χηλῶν· αὐτὸς δὲ ἐπὶ κεφαλὴν κείμενος ἐν τῇ ἀνατολῇ ἐκδέχεται τὰς τοῦ Σκορπίου ἀνατολὰς καὶ τοῦ Τοξότου. οὗτοι γὰρ τέλεον αὐτὸν ἄγουσιν.

MΔKUA ἄλλως: ταῖς μὲν Χηλαῖς ἡ κνήμη αὐτοῦ συναναφαίνεται, τὰ δὲ μέσα τῷ Σκορπίῳ, ἡ δὲ ἀριστερὰ χεὶρ ἅμα τῇ κεφαλῇ, τῷ Τοξότῃ, ὥστε τρισὶ ζῳδίοις αὐτὸν συναναφέρεσθαι.

MΔKUAS 627. — τῆμος ἀποιχομένην κεφαλήν: ἐν τῷ ἀνιέναι μέλλειν τὴν Παρθένον ἡ κεφαλὴ τοῦ Ἵππου εἰς δυσμὰς κατενεχθεῖσα μόνη. νῦν μελλουσῶν τῶν Χηλῶν ἀνιέναι σὺν ἡλίῳ ἔστιν ἰδεῖν τὸν πάντα Ἵππον δύνοντα. διό φησι· „τὸ τηνικαῦτα μετὰ τὴν παρελθοῦσαν ἑαυτοῦ κεφαλὴν καὶ δύσασαν, ὁ Ἵππος ὁλοσχερῶς [ὅλος] δύεται“.

1 γούνασιν MKA: γόν– ΔU | κνήμη ΔKUA: μνήμη M **1–2** μέλλοντος ... τοῦ Ζυγοῦ MΔU: μελλουσῶν ... τῶν Χηλῶν KA **2** ἀνέλαβε δὲ τὸ πρ– *om.* KA | ἀνέλαβε M: ἔλαβε ΔU.

3–7 MΔKUAS (*43r,16–20*) *lemma* MΔKAS: αὐτὸς δ' ἐπὶ κεφαλὴν U **3–4** ἡ μὲν .... αὐ *om.* S *spatio vacuo relicto* **3–5** ἡ μὲν ... κεφαλὴν *codd.*: *om.* KA **4** αὐτοῦ MΔU: ...]τῶ S **5** κεφαλὴν MΔS: κεφαλῆς U **6** *ante* οὗτοι *ponit* ἄλλως U (*cf. infra*).

8–11 MΔKUA ἄλλως MΔKA: *om.* U **8** αὐτοῦ ΔKUA: αὐτῆς M **8–9** συναναφαίνεται *codd.*: *an* συναναφέρεται ? **10** τῇ κεφαλῇ *codd.*: *om.* U | τῷ *codd.*: *om.* M | ὥστε ΔKU *ut vid.* A: ὥσπερ M **11** συναναφέρεσθαι MKU: συναναφαίνεσθαι ΔA.

12–18 MΔKUAS (*43r,24–32*) *lemma* MKA: τῆμος ἀποιχομένην ΔUS **14** εἰς δυσμὰς κατενεχθεῖσα M: κατ– εἰς δυσμὰς U εἰς δυσμὰς κατελθοῦσα S *an* κατηνέχθη *scribendum?* | μόνη MKAS: μόνων U *om.* Δ **14–15** μελλουσῶν τῶν χηλῶν MΔKA: τῶν χηλῶν τῶν μελλουσῶν U μέλλουσα S **15** σὺν *codd.*: *om.* U **16** δύνοντα MΔU: σὺν ἡλίω δύνοντα KAC | φησι *codd.*: φασι Δ **17** ἑαυτοῦ MΔKA: αὐτοῦ U αὐτῆς S | καὶ δύσασαν MU: τὴν δύσασαν Δ καὶ δύσας KA *om.* S **17–18** ὁ Ἵππος ὁλοσχερῶς MUS: καὶ ὁ Ἵπ– ὁλοσχ– Δ ὁλοσχερῶς ὁ Ἵππος KA **18** ὅλος MΔKUA: *om.* S *seclusi* | *post* δύεται *add.* ἅπας S.

628. — καὶ προτέρου ὄρνιθος ἐφέλκεται ἔσχατος οὐρή: MΔKUAS ἢ προτέρου λέγει κατὰ τὴν θέσιν, τοῦ γὰρ Ἵππου ἐπίπροσθέν ἐστι [κατὰ τὴν θέσιν], ἢ πρότερον τὸν Κύκνον λέγει πρὸς ἀντι- MΔKUA διαίρεσιν καὶ πρὸς σύγκρισιν τοῦ Ἀετοῦ· βορειότερος γὰρ αὐτοῦ ὁ Κύκνος. τὰ δὲ βορειότερα καὶ ἀνώτερα, ἐπεὶ προανατέλλει τῶν νοτίων. ἄνω δὲ τὰ βόρεια ὅτι μετεωρότερα ὡς πρὸς τὸν ὁρίζοντα.

629. — δύνει δ' Ἀνδρομέδης κεφαλή: MΔKUAS δύνει δὲ ἡ τῆς Ἀνδρομέδας κεφαλή, τῶν δὲ νοτίων τὸ Κῆτος ὥσπερ ἐπ' αὐτὴν καταφέρεται, ὁ δὲ Κηφεὺς ὥσπερ ἀποσοβῶν τὸ Κῆτος φαίνεται. τοῦ μὲν οὖν Κήτους τὰ μέχρι τῆς λοφιᾶς δύνει, τοῦ δὲ Κηφέως ἡ κεφαλή.

τὸ δέ οἱ μέγα δεῖμα: ἐπάγει τῇ Ἀνδρο- MΔUA μέδᾳ τὸ Κῆτος ὁ νότος· συνδυόμενον γὰρ δοκεῖ ὡς ἐπ' αὐτὴν σπεύδειν. τὸ δὲ ἠερόεις ὁ ἀχλυώδης

1–8 **MΔKUAS** (*43ʳ,24–32 usque ad* κατὰ τὴν θέσιν *ll. 4–5*) *hoc scholium cum praecedenti coniungunt sine ullo distinctionis signo* MKAS *lemma* MK (προτέρη) AS (πρότερον, ἐσχάτου): καὶ προτέρου Δ καὶ προτέρου ὄρνιθος U **2** ἢ MKAS: *om.* ΔU | προτέρου MKA: πρότερον ΔU πρότερος S | λέγει *codd.*: λέγεται S **3** κατὰ KS: μετὰ MΔUA **3–4** κατὰ τὴν θέσιν *seclusi* **4** *post* θέσιν *add.* S καὶ τοῦ κύκλου φασί (*id est* κύκνου, φησί) μέχρις οὐραίας τὸ πᾶν εἰς δύσιν κατηνέχθη, *quod falsum est* (*vide Arati vv. 599–600*) *reliqua om.* | κύκνον MΔUA^{pc}: κύκλον KA^{ac} | πρὸς MΔKU: ὡς πρὸς A **5** πρὸς *codd.*: *om.* K *fortasse recte* **6** ἀνώτερα *codd.*: ὑψηλότερα Δ **7–8** ἄνω ... ὁρίζοντα *om.* Δ **8** μετεωρότερα MA: –τερος K U *incert.* | ὡς MAC: *om.* KU.

9–13 MΔKUAS (*43ʳ,34–39*) *lemma* MS (κεφαλὴν): δύνει δ' ἀνδρομέδης ΔK (–δας) UA **10–11** δύνει δὲ ... καταφέρεται *om.* Δ **10** δὲ *codd.*: *om.* S | ἡ τῆς ἀνδρ– κεφ– *codd.*: ἡ κεφ– τῆς ἀνδρ– S **11** ἐπ' αὐτὴν καταφέρεται KU (ἐπὶ) A: ἐπὶ αὐτῇ κατ– M ἐπικαταφέρεται αὐτῇ S **12** ἀποσοβῶν *codd.*: ἀπὸ σοβῶν M **13** τὰ ACS: τὸ MΔU *om.* K.

14–p. 348,1 MΔUA *lemma* MΔUA **14–15** Ἀνδρομέδαι MΔU: –μέδη A **15** ὡς MΔU: ὥσπερ A **16** αὐτὴν MΔA: αὐτὸν U | σπεύδειν MΔA: –δει U | *glossa codicis* S *in textu supra* ἠερόεις: ὁ ἀχλυώδης καὶ χειμερινός | ὁ MΔU: *om.* A | ἀχλυώδης ΔUA: –δεις M

καὶ χειμερινός. ἐν γὰρ τῷ χειμερινῷ μᾶλλον πνεῖ.

MΔUA 630. — ἀ ν τ ί α δ' α ὐ τ ό ς: ποιητικεύεται· ἐκτείνει γὰρ τὴν χεῖρα ὥσπερ παρακελευόμενος τῇ παιδὶ ἐκκλίνειν τὸ Κῆτος,

MA ἐπειδὴ σὺν αὐτῇ κατῆλθεν.

MΔKUA 632. — κ α ὶ τ ὸ μ ὲ ν ἐ ς λ ο φ ι ή ν: καὶ τὸ μὲν Κῆτος μέχρι ὤμων καὶ στήθους δύεται, ὁ δὲ Κηφεὺς μόνῃ τῇ κεφαλῇ. τὰ γὰρ λοιπὰ αὐτοῦ ἄδυτα, ὅτι ἔνδον ἐστὶν ἐν τῷ βορείῳ.

MΔKUA 634. — κ α μ π α ὶ δ' ἂ ν π ο τ α μ ο ῖ ο: ἅμα τῷ Σκορπίῳ ἀνατέλλοντι αἱ τοῦ Ποταμοῦ καμπαὶ δύνουσι καὶ ὁ Ὠρίων, ὃς κυνηγετῶν περὶ Χίον τὴν Ἄρτεμιν ἐθεάσατο καὶ τῶν πέπλων αὐτῆς ἐλάβετο. ἡ δὲ θυμωθεῖσα παραυτὰ ἐκ γῆς σκορπίον ἀνέδωκεν ὑφ' οὗ ἐπλήγη ὁ Ὠρίων. καὶ νῦν οὖν ὡς διὰ φόβον ἀνατέλλοντος Σκορπίου ὁ Ὠρίων δύνει.

S κ α μ π α ί: αἱ δὲ τοῦ Ποταμοῦ καμπαὶ δύνουσι, καὶ Ὠρίων ὡς κυνηγετῶν περὶ Χίον εἶδε τὴν Ἄρτεμιν, καὶ ἐπελάβετο τῶν πέπλων αὐτῆς. ἡ δὲ ἀνέδωκεν ἐκ γῆς

---

1 χειμερινὸς MΔC: σκοτεινὸς U χειμερινὸς καὶ σκοτεινὸς A | μᾶλλον πνεῖ M: πνεῖ μᾶλλον ΔUA.

2–4 MΔUA *lemma* MUA: [κ]ηφεὺς ἐν βορέᾳ (*631*) Δ **3** γὰρ MΔA: *om.* U | ὥσπερ MΔA: ὡς U.

5 MA

6–9 MΔKUA *lemma* MΔUA: καὶ τὸ μὲν ἐς λοφιὴν τετραμμένον K **6–7** καὶ τὸ μὲν MKA: τὸ Δ καὶ τὸ μὲν οὖν U *ut vid.* **8** γὰρ MΔU *ut vid.*: δὲ KAC.

10–16 MΔKUA *ante lemma in* U: ἐν τῷ ἔμπροσθεν καταβατῷ, *id est in anterioris paginae Arateo textu; his enim verbis in exemplari codicis U significabatur hoc scholium ad versum in anteriore pagina scriptum pertinere* *lemma* MΔ (ἅμ) KUA **12** *post* Ὠρίων *add.* Δ ὃς ἅμα τῷ σκορπίῳ ἀνατέλλοντι, καὶ αὐτὸς δύνει | ὃς MKUA: οὗτος Δ | κυνηγετῶν MΔKA: –τεῖ U **14** παραυτὰ M: παρ' αὐτὰ ΔA παρ' αὐτὸν KC ἐπ' αὐτὰ U | ἐκ γῆς σκορπίον ἀνέδωκεν MΔU: σκορπίον ἐκ τῆς γῆς ἀνέδωκεν KAC **15** ἐπλήγη MΔU: καὶ ἐπλήγην K ἐπλήγην A | οὖν MKUA: *om.* Δ **15–16** ὡς διὰ φόβον ἀνατέλλοντος Σκορπίου MUA: ἀνατέλλοντος τοῦ σκορπίου ὡς διὰ φόβον Δ ὡς ἀνατέλλοντος σκορπίου διὰ φόβον K.

17–p. 349,2 S (*43r,39–45*) **18** χῖον S

σκορπίον ὑφ' οὗ ἐπλήγη ὁ 'Ωρίων. καὶ νῦν ἀνατέλλοντος Σκορπίου δύνει ὁ 'Ωρίων ὥσπερ δεδοικώς.

636. — ὃς καὶ ἐπερχόμενος: ὅστις Σκορπίος ἀνατέλλων ἐκφοβεῖ καὶ εἰς δυσμὰς ἄγει τὸν 'Ωρίωνα. εἶτα ἐπάγει βιωφελῶς τὴν ἱστορίαν, δεικνὺς ὅτι δεῖ μὴ ἀσεβεῖν ἐξ ὧν ὁ 'Ωρίων πέπονθεν. ἀρχόμενος δὲ τῆς ἱστορίας, ἐξευμενίζεται τὴν Ἄρτεμιν, ὅτι ἄρχεται λέγειν ὡς ὑπὸ ἀνθρώπου 'Ωρίωνος ἐβιάζετο, καὶ τὴν αἰτίαν ἀφοσιοῦται λέγων ὅτι ,,τῶν παλαιοτέρων ἐστὶν ἡ φήμη, καὶ οὐκ ἐμοῦ". καὶ σφόδρα ἀστείως αὐτὸ πεποίηκε. βιωφελῆ γὰρ ἐκτιθέμενος τὴν ἱστορίαν, ἐξ ὧν προευμενίζεται δείκνυσιν ὅτι οὐδὲ λόγῳ θεμιτὸν ταῦτα λέγειν, μὴ ὅτι γε καὶ πράττειν. MΔUA

προτέρων δὲ λόγος ὅτι μυθικόν τινα λόγον διηγεῖται. ἀναφέρει γὰρ ἐπὶ τοὺς ἀρχαίους τὸ τοῦ 'Ωρίωνος διήγημα. S

ἔχει δὲ ὧδε ἡ ἱστορία ἀπ' ἀρχῆς· MKUA

Οἰνοπίων, ὁ Διονύσου καὶ 'Αριάδνης παῖς, ἐν Χίῳ τῇ νήσῳ ᾤκει, ταύτης βασιλεύων. MΔKUAS

ὡς 'Ανακρέων φησίν, ,,ὅτι μή, Οἰνοπίων ..." (fr. ined.) S

---

1 ὑφ' *correxi*: ἀφ' S.

3–13 MΔKUA *lemma* MΔKUA **3–4** Σκορπίος MΔKU: ὁ Σκορπίων A **4** ἐκφοβεῖ καὶ MKUA: *om.* Δ | ἄγει MKUA: ἀπάγει Δ **5** *post* 'Ωρίωνα *add.* ἐκφοβῶν Δ **6** ὁ MKUA: *om.* Δ **8** ὅτι ἄρχεται λέγειν MKUA: ἵνα μὴ ὀργίσῃ λέγων Δ | 'Ωρίωνος MKUA: *om.* Δ | ἐβιάζετο MΔKA: ἐβιάσθη U **9** αἰτίαν MΔK: ἄρτεμιν UA **11–12** βιωφελῆ ... ἱστορίαν MKUA: *om.* Δ **12** ὧν MKUA: ὧν γὰρ Δ | προευμενίζεται MKA: προεξευμενίζεται Δ U *mutil.* **13** ταῦτα λέγειν MΔUA: λέγειν ταῦτα K | ὅτι M: τι ΔKA τοι U | γε MΔKU: δὲ A.

14–16 S (*43ʳ, 45–48*)

17 MKUA (*cum praecedenti scholio coniunctum in* A) ἀπ' ἀρχῆς Est (*unde Ald.*): ἀπαρχήν MKA U *mutil.*

18–19 MΔKUAS (*43ʳ, 48–49*) *lemma* οἰνοπίωνι (*v. 640*) S: *non in* MΔKUA ἱστορία A *in mg.* **18** Οἰνοπίων *codd.*: *om.* S | Διονύσου *codd.*: –σιος K **18–19** ἐν Χίῳ ... βασιλεύων *codd.*: ἐβασίλευσε χίου Δ.

20–21 S (*43ʳ, 50*) *fragmentum Anacreontis ineditum emendari posse non videtur; post* μή *dist.* S.

MΔKUAS αὕτη ἡ Χίος εἶχε πλεῖστα ἑρπετά, ὡς καὶ διὰ τὸ πολύθηρον αὐτὴν εἶναι ὀφιοῦσσαν καλεῖσθαι. πρὸς χάριν τοίνυν Οἰνοπίωνος, ἦλθεν ἀπὸ Βοιωτίας ὁ Ὠρίων, ἄριστος ὢν κυνηγός, ὅπως καθάρῃ τὴν νῆσον. ἔχων δὲ σὺν αὐτῷ τὴν Ἄρτεμιν κυνηγοῦσαν ἀκόσμως ἐβιάζετο. ἡ δὲ κολώνην τῆς νήσου ἐποίησε διαρραγῆναι, καὶ ἀναδοθῆναι τὸν Σκορπίον, ὑφ' οὗ πληγεὶς ἀπώλετο.

MΔKUA καὶ κατηστερίσθη αὐτὸς καὶ ὁ Σκορπίος. ὥσπερ δὲ καὶ ἐν οὐρανῷ δεδοικὼς αὐτὸν ὁ Ὠρίων ἀεὶ φεύγει· καὶ ὅτε ἐκεῖνος ἀνατέλλει, ὁ Ὠρίων δύνει, ὅτε δὲ δύνει ὁ Σκορπίος, ὁ Ὠρίων ἀνατέλλει.

S καὶ ὅτε ἀνατέλλει ὁ Σκορπίος, ὁ Ὠρίων δύνει ὡς φοβούμενος.

MΔKUA ὁ μὲν οὖν Νίκανδρος (Ther. 18) τῆς τῶν θεῶν εὐσεβείας . . . γινόμενος, βραχύν τινά φησιν εἶναι τὸν σκορπίον, δεικνὺς ὅτι θεῶν βουλήσει καὶ βραχέα ἰσχύει κατὰ μειζόνων. οὗτος μέντοι ὁ Ἄρατος ⟨τῆς⟩ ἀστροθέσεως

1–7 MΔKUAS (*43r,50–43v,6*) **1** αὕτη ... εἶχε MKUA (χῖος) S (χῖος): εἶχε δὲ ἡ νῆσος Δ **2** αὐτὴν εἶναι *codd.*: *om.* S *fort. recte* | ὀφιοῦσσαν *Maass*: ὀφιοῦσαν MΔKA ὀφιοῦσα S U *mutil.* | καλεῖσθαι ΔUS: κληθῆναι MKA | πρὸς *codd.*: κατὰ S **3** οἰνοποίωνος A **4** ἄριστος ὢν κυνηγὸς *codd.*: κυνηγῶν ὢν ἄριστος Δ | καθάρῃ MΔKA: καθαρίζῃ U *ut vid.* (*sed* καθαρι– *non legitur*) καθαρίσῃ S | *post* νῆσον *add.* τῶν θηρίων S **5** σὺν αὐτῷ (*sic codd.*: αὐτῶι *edd.*) τὴν Ἄρτεμιν κυνηγοῦσαν (*sic* M: κυνηγετοῦσαν ΔKUA) *codd.*: τὴν Ἄρτεμιν συγκυνουγοῦσαν (*sic*) αὐτῶ S | *ante* ἐβιάζετο *add.* αὐτὴν Δ **6** τῆς νήσου *codd.*: τὴν νῆσον S **7** ὑφ' MKUA: ἀφ' ΔS | πληγεὶς MΔS: ὁ Ὠρίων πληγεὶς KUA.

8–11 MΔKUA **8–9** ὥσπερ ... φεύγει MKUA: καθάπερ δὲ δεδοικὼς τὸν σκορπίον καὶ ἐν οὐρανῶ φεύγει ἀεί Δ **9** αὐτὸν MKA: *om.* U.

12–13 S (*43v,6–7*).

14–p. 351,2 MΔKUA **14** τῶν MKUA: πρὸς Δ | θεὸν Δ[pc] *ut vid.* | *lacunam indicavi* **15** γινόμενος MΔKA: γενόμενος U γλιχόμενος *Maass* **16** θεῶν *codd.*: καὶ θεῶν A | καὶ βραχέα M: καὶ τὰ βραχέα Δ καὶ βραχὺς ὢν K βραχὺς ὢν U μικρὸς ὢν δὲ A **16–17** ἰσχύει κατὰ μειζόνων MKUA: κατισχύει τῶν μειζόνων Δ **17** οὗτος MΔU: οὕτως KA | τῆς *Maass*: ἐκ τῆς Est *om. codd.* | ἀστροθέσεως MU: ἀστροθεσίας Δ ὁ ἀστροθέσεως KA

κατανοήσας τὸ μέγεθός, φησιν ὅτι καὶ ὅλον ὄρος ἀνέρρηξεν ἵνα ἀναδοθῇ ὁ Σκορπίος.

640. — θήρης ἀρνύμενος: περιποιούμενος, ἀντικαταλλασσόμενος διὰ τοῦ φονεύειν τὰ ζῷα χάριν Οἰνοπίωνι. MΔUA

ἐὰν δὲ αἰνύμενος γράφηται, σημαίνει τὸ λαμβάνων. ὁ δὲ ᾿Ωρίων κατὰ διάμετρον τῷ Σκορπίῳ. MA

641. — ἡ δέ οἱ ἐξ αὐτῆς ἐπετείνατο: γράφεται καὶ ἐπετείλατο. ὁ δὲ λόγος· „ἡ δὲ Ἄρτεμις ἐξ αὐτῆς τῆς Χίου ἐπετείλατο ἀναδοθῆναι, τουτέστιν ἐποίησε". θηρίον δὲ ἄλλο ὡς πρὸς τὰ ὄντα ἐν τῇ Χίῳ, ὧν καὶ φόνον εἰργάζετο ὁ ᾿Ωρίων. MΔUA

τὸ δὲ πολλὸν ἐόντα (643)· ὅτι μέγας ἦν ὁ ᾿Ωρίων, καὶ κατὰ τὸν Ὅμηρον ἔξεστί τινα μαθεῖν. λέγων γὰρ τὸ μέγεθος τῶν παίδων τῆς ᾿Ιφιμεδείας [τὸ μὲν μῆκος ἐννεόργυιον] ἐπιφέρει (λ 310) „μετά γε κλυτὸν ᾿Ωρίωνα". MΔUA

644. — πλειότερος προφανείς: τὸν Σκορπίον φησὶ πλείονα αὐτοῦ καὶ μείζονα στοχαζόμενος MΔUA

---

1 ὅλον ὄρος MKUA: ὄρος ὅλον Δ **2** ὁ Σκορπίος *codd.*: *om.* U.

3–5 MΔUA *lemma* MΔUA **4** ἀντικαταλλασσόμενος Δ: –αλασσ– MUA | διὰ MUA: *om.* Δ | τοῦ MΔ: τὸ UA **5** Οἰνοπίωνι *om.* Δ.

6–7 MA γράφηται M: γράφοιτο AC **7** κατὰ διάμετρον A: καταδιάμετρον M.

8–12 MΔUA *lemma* M: ἡ δέ οἱ ἐξ αὐτῆς ΔAC ἐπετείνατο U **10** ἐξ MUA: ἀπ' Δ | ἐπετείλατο MUA: ἐπετείλατο καὶ προσέταξεν Δ **11** τουτέστιν ἐποίησε MUA: *om.* Δ | ἄλλο MUA: ἄλλο φησίν, Δ **12** τῆι MUA: *om.* Δ | ὧν καὶ φόνον εἰργάζετο (–σατο A) MUA: ἃ καὶ ἀνήρει Δ | *post* ᾿Ωρίων *finem scholii indicant* ΔUA, *non* M.

13–17 MΔUA **13** τὸ δὲ πολλὸν ἐόντα M: πολλὸν ἐόντα ΔA *om.* U | ὅτι M: ὅτι γὰρ ΔU *ut vid.* A | μέγας ἦν MΔ: σφόδρος (*vel* σφόδρα) ἐστιν U σφόδρα μέγας ἦν A **14** κατὰ τὸν Ὅμηρον MUA: παρ' Ὁμήρου Δ | ἔξεστι MΔA: ἐστι U **15** γὰρ MUA: γὰρ ἐκεῖνος Δ **16** τὸ ... ἐννεόργυιον MUA (*cf.* λ *312* „ἀτὰρ μῆκός γε γενέσθην ἐννεόργυιοι"): *om.* Δ *seclusi* | γε MA: *om.* ΔU.

18–p. 352,2 MΔUA *lemma* MΔA: σκορπίον ὅς ῥά μιν (*643*) U **18** πλ– αὐτοῦ καὶ μείζ– MΔA: μείζ– αὐτοῦ καὶ πλ– U

ὅτι καὶ δύο ἄστρων μῆκος ἐπέχει καὶ ἑξηκοντάμοιρός ἐστι μόνος.

ΜΔΚUA 646. — Ὠρίωνα περὶ χθονὸς ἔσχατα φεύγειν: καὶ [αὐτὸν] ἀπ' αὐτῶν τῶν λέξεων σφόδρα ὑπογράφει τὸν Ὠρίωνα δεδοικότα τὰ τῆς γῆς ἔσχατα καταλαμβάνειν, ὑπερβολῇ τοῦ φόβου καὶ τῆς δειλίας.

ΜΔΚUA 647. — οὐδὲ μὲν Ἀνδρομέδης: τότε καὶ τῆς Ἀνδρομέδας καὶ τοῦ Κήτους ὅσα ὑπελείπετο τῇ τῶν Χηλῶν ἀνατολῇ, καὶ ταῦτα δύνει· τοῦ δὲ Κηφέως τὰ μέχρι ζώνης δέδυκεν. τὰ μὲν γὰρ ἄλλα ἀπὸ τῶν ποδῶν μέχρι τῆς ἰξύος ἐν τῷ ἀεὶ φανερῷ ἐστι κύκλῳ, ἡ δὲ ζώνη ἅπτεται τοῦ ὁρίζοντος. τοῦτο γάρ ἐστι τὸ γαῖαν ἐπιξύει (650). Ἄρκτους (652) δὲ εἶπε τὸν ἀρκτικὸν κύκλον.

S οὐδὲ μὲν Ἀνδρομέδης καὶ τοῦ Κήτους ἐλελείφατο εἰς παντελῆ δύσιν οὐκ εἰσὶν ἀπευθεῖς καὶ ἀνήκουστοι ἐκείνου ἀνατέλλοντος τοῦ Σκορπίου. ἀλλὰ καὶ οὗτοι πανσυδίῃ φεύγουσι (649) τότε μάλιστα. τότε καὶ Κηφεὺς τῇ ζώνῃ τὴν γῆν ἐπιξύει δύνων μέχρις αὐτὸς καὶ μόνον.

ΜΔΚUA 649. — πανσυδίῃ φεύγουσι: σὺν παντὶ τῷ πλήθει κατάγονται οὖν. ὁ γὰρ Ὠρίων δυόμενος, ἐκ

---

1 ἑξηκοντάμοιρος *edd.*: ἑξηκοντόμοιρος Est ἑξηκοντόμοιρον ΜΔ AC ξ̄ μοιρῶν U **2** μόνος Est: μόνον ΜΔU^{pc}A μόνων U^{ac}.

3–7 ΜΔΚUA *lemma* M: ὠρίωνα περὶ χθονὸς ΔΚΑ ἐπεὶ Ἄρτεμιν (*644*) U **4** αὐτὸν M: αὐτὸς ΔΚΑ τοῦτο U *om.* C *seclusi* | ἀπ' αὐτῶν τῶν AC: ὑπ' αὐτῶν τῶν K ἀπὸ τῶν M ΔU **4–5** σφόδρα *om.* C.

8–16 MAS (*45ʳ,31–40*) ἄλλως **MA**: ἄρκιαι ἐξειπεῖν S | ὁ λόγος **MS**: *om.* A **8–10** αἱ . . . διασαφῆσαι **MA**: ἐκ τῶν ιβ' ζῳδίων, αἱ ἀνατολαὶ καὶ αἱ δύσεις ἱκαναὶ εἰσὶν ἐξειπεῖν τὴν διαφορὰν τῶν ἐνιαυσιαίων καιρῶν καὶ οἰκείως διασαφῆσαι S **12** τὴν γεωργίαν **MA**: τὴν *om.* S **15** δύσεις **MA**: αἱ δύσεις S.

16–19 MUAS (*45ʳ, 40–42; in* UA *post l. 7; sed hic quoque praebet* A *verba* ὁμοίως (*sic*) δὲ τῶ προοιμίω ἡ διάνοια; *totum enim scholium 8–19 librarius eius exemplaris ex quo* A *descriptus est, a codice Casanatensis nostri* (C) *simillimo sumpsit)* **16** ὁμοία **MU**: ὁμοίως A *bis* ὅμοιον S | ἡ διάνοια **MUA** (*bis*): *om.* S **17** κε **MS**: καὶ **UA** **18** σημαίνοιεν **MS**: σημαίνουσι **UA**.

743-750. — ἐκ Διὸς ἤδη πάντα: ὑπὸ τοῦ Διὸς παρεδόθη τοῖς ἀνθρώποις ἵνα οἳ μὲν πρὸς ἀντίληψιν τῶν κατὰ γεωργίαν ἔργων ὠφεληθῶσιν, οἳ δὲ εἰς ναυτιλίαν, φυλασσόμενοι τὰς χειμερίους ἀνατολάς τε καὶ δύσεις τῶν ἄστρων, οἷον Ἀρκτούρου Ἐρίφων Αἰγός, ἀπό τε τῆς ἑσπέρας σημείωσιν ποιούμενοι τοῦ μέλλοντος καὶ ἀπὸ τοῦ ὄρθρου, τουτέστιν ἀπὸ τῆς ἑκάστου τῶν ιβ′ ζῳδίων ἀνατολῆς τε καὶ δύσεως. ὁ γὰρ ἥλιος ἐν τῇ ἐνιαυσιαίᾳ περιόδῳ διεξιὼν τὸν ζῳδιακὸν κύκλον κατὰ τάξιν εἰς ἓν ἕκαστον τῶν ζῳδίων μεταβαίνει. διὸ ὄγμον τὴν πορείαν αὐτοῦ ὠνόμασεν. MΔUA

καὶ Ὅμηρος ,,ὄγμον ἐλαύνωσιν" (Λ 68). MA

ἀπὸ τοῦ θεοῦ τὰ πάντα ἐδόθησαν τοῖς ἀνθρώποις ἵνα τὴν δύσιν καὶ τὴν ἀνατολὴν τῶν ἀστέρων θεωροῦντες γινώσκωσιν ὥραν τοῦ χειμῶνος καὶ τοῦ ἔαρος. S

744. — καὶ μέν τις καὶ νηΐ: ὅτι τὰ ἀπλανῆ, φησί, δηλοῖ τοὺς καιροὺς καὶ τεκμήρια δίδωσι τοῦ πλοῦ. ,,καὶ γάρ τις καὶ νηῒ ἑαυτὸν εἰσδεδωκὼς πολύκλυστον χειμῶνα ἐσκέψατο, ἢ τοῦ δεινοῦ Ἀρκτούρου μνημονεύσας (ὅλη γὰρ αὐτοῦ ἡ δύσις χειμερινή ἐστιν, ὃ MΔKUAS

1–11 MΔUA *lemma* MUA: [ἐ]κ Διὸς ἤδη Δ **1** ὑπὸ MA: ἀπὸ U [.]πὸ Δ **2–3** πρὸς ἀντίληψιν τῶν κατὰ MA: τῶν κατὰ Δ τῶν κατ' ἀντίληψιν U **3** γεωργίαν MΔ: τῆς γεωργίας U τὴν γεωργίαν A | ἔργων MUA: *om.* Δ | *post* ὠφεληθῶσιν *add.* τὰ πλεῖστα Δ **4** εἰς MΔU: *om.* A | *post* ναυτιλίαν *add.* κρείττονες ἔσοιντο (*ex* ἔσονται) Δ | χειμερίους MUA: –ρίας Δ **5–6** ἐρίφων αἰγὸς MΔA: αἰγὸς ἐρίφου (*sic ut vid.*) U **8** ἀνατολῆς MUA: ἐπιτολῆς Δ **11** μεταβαίνει MUA: ἀνατέλλει Δ.

12 MA ἐλαύνωσιν *Homerus*: ἐλαύνων MA.

13–15 S (*45ʳ in mg.*).

16–p. 378,7 MΔKUAS (*45ʳ, 42–49*) *lemma* MΔUAS: καὶ μέν τις K **17** δηλοῖ τοὺς καιροὺς MΔKAS: τοὺς (*evan.*) καιροὺς δηλοῖ U | δίδωσι MΔKUA: διδόασι S **18** πλοῦ MΔKUA: πλόου S | γὰρ MΔKUA: μὲν S **18–19** καὶ (*om.* S) νηῒ . . . πολυκλ– MKUAS: *om.* Δ **18** εἰσδεδωκὼς MKUA: ἐκδεδωκὼς S **18–19** πολύκλυστον χειμῶνα *scripsi*: πολυκλύστοιο χειμῶνος MKU (*inter* νηῒ *et* ἑαυτὸν) A *om.* S χειμῶνα Δ πολυκλύστου χειμῶνος *Aratus 744* **20** ὅλη ΔUCS: ὀλίγη MKA

δὲ Χηλαῖς συγκατέρχεται Σκορπίῳ Τοξότῃ Αἰγοκέρωτι, ἡ δὲ τετράμηνος χειμερινή ἐστιν), ἔμαθεν οὖν περὶ ἐσομένου χειμῶνος ὁ ναυτίλος ἢ τοῦ Βοώτου μνησθείς (MΔKUA δ ε ι ν ο ῦ δὲ οἱ μὲν τοῦ λαμπροῦ, οἱ δὲ χειμερινοῦ, ὡς πρὸς τὸ παρόν) ἤ τινων ἄλλων ἀστέρων [θεάσοιτο] οἵτινες ἐξ ὠκεανοῦ ἀ ρ ύ ο ν τ α ι, ἀντὶ τοῦ ἀνατέλλουσιν".

KA 747. — ἀ μ φ ι λ ύ κ η ς: φασὶ γὰρ τὸν λύκον ἀνακεῖσθαι τῷ Ἀπόλλωνι, καὶ ὥσπερ ἐκεῖνος μάντις ὢν προβλέπει, οὕτω καὶ τὸν λύκον, διὰ τὸ ὀξυδερκὲς αὐτοῦ, προσήρμοσαν [αὐτὸν] τῷ Ἀπόλλωνι. διὰ τοῦτο καὶ λυκόφως λέγεται, ὅταν ὁ λύκος θεάσηται.

MΔKUAS 749. — ὄ γ μ ο ν ἐ λ α ύ ν ω ν: ὄγμος κυρίως ἡ τάξις καλεῖται τῶν θεριζόντων, ὅπου ἀμῶνται, ἢ ὁ μεταξὺ δύο φυτειῶν τόπος ἀργός. ἐπειδὴ οὖν τὴν μέσην γραμμὴν τοῦ ζῳδιακοῦ ὁ ἥλιος πορεύεται, ἔχει δὲ ὁ κύκλος ἄλλας δύο ἑκατέρωθεν γραμμάς, διὰ τοῦτο εἶπεν ὄγμον τὸν τοῦ ἡλίου δρόμον.

---

1 χηλαῖς **MΔKUA** χηλὸς **S** **1–2** αἰγοκέρωτι **MKAS**: αἰγοκέρω **ΔU** **2** τετράμηνος (*sic* **MΔKUA**: τετάρτη μηνὸς **S**) *est spatium quattuor mensium* (*cf. SIG 410,4 et* τρίμηνος *Hdt. II, 124*) **3** περὶ ἐσομένου **ΔUS**: περιεσομένου **MKA** | ναυτίλος **MU**: ναύτης **Δ** ναυτίλλος **K** ναυτῖλος **AS** | τοῦ **MKUAS**: *om.* **Δ** **4–7** δεινοῦ ... ἀνατέλλουσιν *om.* S, *ut alterum scholium praebent* **ΔKUA** (*lemma* δεινοῦ **Δ** δεινοῦ μεμνημένος **U** ἢ δεινοῦ μεμνημένος **KA**) **4** δεινοῦ **MΔ**: *om.* **KUA** | δὲ οἱ μὲν **M**: οἱ μὲν **KA** *om.* **ΔU** | οἱ δὲ **MKA**: ἄλλοι δὲ **ΔU** **4–5** χειμερινοῦ **MΔU**: τοῦ χειμερινοῦ **KA** *fortasse recte* **6** θεάσοιτο **MΔKUA**: *seclusi, iam om.* Est (*unde Ald.*) θέας *Maass.*

8–12 KA **9** ἐκεῖνος μάντις **K**: ἐκεῖνον μέν τις **A** **11** αὐτὸν **KA**: *secl. Maass; sed fortasse* αὐτῷ *scribendum et* Ἀπόλλωνι *delendum* | *cf. sch. H 433, Wendel ad sch. Ap. Rh. 2, 671.*

13–18 MΔKUAS (*45ᵛ,6–9*) *lemma* **MΔ**: ὄγμον **KA** μέγαν ὄγμον **U** *om.* **S** **13–15** ὄγμος ... μεταξὺ **MΔKUA**: ὄγμος λέγεται καὶ ὁ μεταξὺ **S** **13** ὄγμος **ΔU**: ὄγμον **M** ὄγμος δὲ **KA** **13–14** ἡ τάξις καλεῖται **MK**: καλεῖται ἡ ἐπίστιχος τάξις **Δ** καλ– ἡ τάξις **U** ἡ τάξις **A** **15** ἐπειδὴ **MUAS**: ἐπεὶ **ΔK** | οὖν **MΔUS**: δι' αὐτῶν **KA** **16** ζῳδιακοῦ **MΔKUA**: ζῳδ– κύκλου **S** **17** ἄλλας **MKUAS**: *om.* **Δ** | τοῦτο **ΔKAS**: τοῦτον **M U** *evan.* **18** τοῦ **MKUAS**: *om.* **Δ** | δρόμον **MΔUS**: κύκλον **KAC**.

καὶ ὅτι τῶν πάντων ἐστὶν ὁ ἥλιος ἀνατέλλων φυτουργὸς καὶ γεννήτωρ, διὰ τοῦτο τὴν ὁδὸν αὐτοῦ ὄγμον εἶπεν. S

750. — τοτὲ μέν τ' ἀνιών: ἢ γὰρ ἀνατέλλων ἑῴας τὰς φάσεις παρέχει αὐτοῖς, ἢ δύνων ἑσπερίας. τὸ δὲ αὐτίκα οὐκ ἀργῶς, ἐπ' ἀμφοτέρων· ἢ γὰρ αὐτίκα ἀνιὼν μετὰ τὴν ἑῴαν τοῦ ἄστρου φάσιν, ἢ πρὸ ὀλίγου τῆς τοῦ ἄστρου ἑσπερίας φάσεως δεδυκώς. MΔKUA

751. — ἄλλος δ' ἀλλοίην ἀστήρ: ἐφ' ἕκαστον ὁ ἥλιος τῶν ἐν ταῖς μοίραις ἀστέρων ἔρχεται· οἷον σήμερον, ἐλθὼν ἐπὶ τὴν πρώτην μοῖραν, ἀνέτειλε ⟨σὺν ἀστέρι τινί⟩, τῇ δὲ ἑξῆς οὐκέτι σὺν ταὐτῷ. ἔρχεται γὰρ ἐπὶ τὴν δευτέραν μοῖραν, καὶ ἐπιψαύει τοῦ ἀστέρος τοῦ ἐν τῇ δευτέρᾳ μοίρᾳ ὄντος. διὸ εἶπεν ἄλλος δ' ἀλλοίην ἐπιδέρκεται ἡμέραν σὺν ἡλίῳ ἀστήρ, ἢ ἄλλος κατὰ [τὴν] ἀλλοίαν [τῶν ἀστέρων] ἡμέραν θεωρεῖται, κατὰ ποιὰν δηλονότι φάσιν, ἑῴαν ἀνατολὴν ἢ ἑσπέριον δύσιν ⟨ἤ⟩ τινα τούτων, ἐπείτοι MΔUA

1–3 S (*45ᵛ,10–11*).

4–8 MΔKUA *lemma* MΔKA: U *mutil.* **5** τὰς φάσεις MΔU (*post* παρέχει U): αὐτῆς τὰς φάσεις KA | παρέχει αὐτοῖς M: αὐτοῦ παρέχει ΔU αὐτὰς παρέχει K παρέχει A **6** τὸ δὲ MΔ: τὸ δ' U τοτέ δ' KA | ἀργῶς M: ἀργὸν Δ | ἐπ' MΔK^{sl}UA: ὑπ' K | ἢ MKA: καὶ Δ U *mutil.* **7** μετὰ MΔKA: τὰ U | φάσιν MΔ: φαῦσιν KA φησιν U **8** τῆς MΔ KA: *om.* U | φάσεως ΔU: φαύσεως KA *om.* M.

9–p. 380,3 MΔUA (*in* UA *post p. 382, l. 5*) *lemma* MUA: [ἄ]λλος δ' ἀλλοίην Δ **10** ἀστέρων A: ἄστρων MΔU **11** ἀνέτειλε MΔU: ἀνατέλλει AC **12** σὺν ἀστέρι τινὶ *supplevi exempli gratia*: *lacunam post* ἔρχεται (*l. 10*) *indicat Maass cuius apparatus criticus maioribus hic erroribus scatet* | τῇ MΔU: τὸ A | δὲ M A: *om.* ΔU | σὺν ταὐτῷ *scripsi*: σὺν αὐτῷ MΔA: *om.* U **13** μοῖραν Δ: μοίραν MA: *om.* U **13–14** καὶ ἐπιψαύει.... ὄντος MA: *om.* ΔU **15** σὺν ἡλίῳ ΔUA: *om.* M **16–18** ἢ ἄλλος ... τούτων MA: *om.* ΔU **16** τὴν MA: *del.* Est | ἀλλοίαν *scripsi*: ἀλλοίην MA ἄλλην Est | τῶν ἀστέρων MA: *post* ἡμέραν *transtulit* Est, *secl. Maass* **17** ποιὰν *scripsi*: ποίαν M ποῖαν A | φάσιν M: φησὶν A **18** ἢ ἑσπέριον δύσιν *scripsi*: ἢ ἑσπέριον ἢ δύσιν M ἢ δύσιν A | ἤ *add.* Est: *non in* MA (*sed iam post* δύσιν *dist.* A)

γε καθ' ἑκάστην ἡμέραν ἕκαστος αὐτῶν καὶ ἀνατέλλει καὶ δύεται, ὡσὰν τοῦ κόσμου ἐν ἡμέρᾳ καὶ νυκτὶ ἀπὸ σημείου ἐπὶ σημεῖον φερομένου.

MΔUAS 752. — γινώσκεις τάδε καὶ σύ: ὁριστικὸν ἀντὶ προστακτικοῦ, ἀντὶ τοῦ γίνωσκε. συναείδεται δὲ ἀντὶ τοῦ συνᾴδεται, πρόκειται. κύκλα (753) ἐνιαυτοί. ἐπιδινεῖται (755) παρέρχεται. ὁ δὲ λόγος· γίνωσκε ὅτι ἀναλογοῦντες ἀλλήλοις καὶ σύμφωνοι γίνονται οἱ τοῦ ἡλίου δρόμοι διὰ ιθ' ἐτῶν ἐπιθεωρούμενοι. ὁμοίως δὲ καὶ ἡ ἀνατολὴ τῆς τοῦ Ὠρίωνος ζώνης μέχρι τῆς παντελοῦς δύσεως αὐτοῦ, ἔτι γε μὴν καὶ ἡ τοῦ Κυνὸς ἀνατολή τε καὶ δύσις διὰ τῶν ἴσων ἐτῶν σύμφωνοι γίνονται.

MΔAS τὰς μὲν οὖν ἡμέρας τῆς ἐννεακαιδεκαετηρίδος ἀπὸ τῆς τοῦ ἡλίου ἐνεργείας ὑπέδειξε, τὰς δὲ νύκτας ἀπὸ τῆς τοῦ Ὠρίωνος ἀνατολῆς τε καὶ δύσεως, διὰ τὸ ἐκεῖνα τὰ ἄστρα καταληπτὰ τοῖς ἀνθρώποις ἐν τῇ νυκτὶ γίνεσθαι.

---

1 ἕκαστος αὐτῶν καὶ MA: *om.* ΔU **2** δύεται MUA: ἀναδύεται Δ | ὡς ἂν MΔU: ὡς A | ἐν ἡμέρα ΔU: καὶ ἐν ἡμέραι M καὶ ἐν νυκτὶ A | καὶ νυκτὶ U: καὶ ἐν νυκτὶ M νυκτὶ Δ καὶ ἐν ἡμέρα A **2–3** ἀπὸ σημείου ἐπὶ σημεῖον MA: ἐπὶ σημεῖον ἀπὸ σημείου Δ ἀπὸ σημείου εἰς σημεῖον U.

4–13 MΔUAS (*45r,49–45v,2*) *lemma* MA: γινώσκεις τάδε ΔU γινώσκεις S **4–5** ὁρ– ἀντὶ προστ– MΔAS: προστ– ἀντὶ τοῦ ὁρ– U **5** ἀντὶ τοῦ γίν– MUAS: ἔστι γὰρ ἀντὶ τοῦ γίν– Δ | δὲ ἀντὶ τοῦ MΔUA: *om.* S **6** πρόκειται MUAS: *om.* Δ **6–7** κύκλα. ἐνιαυτοὶ ΔU (–τὸν) A: ἐνιαυτοί. κύκλα M κύκλω S **8** δὲ λόγος *om.* A **8–9** ἀναλογοῦντες ἀλλήλοις (τοῖς ἀλλ– A) καὶ σύμφωνοι MUA: σύμφωνοι ἀλλήλοις Δ ἀναλογοῦνται ἀλλήλων κατὰ τὴν συμφωνίαν S **9** οἱ ΔUAS: αἱ M **10** ἐπιθεωρούμενοι MΔUA: –μενα S **10–11** τῆς ... ζώνης MΔUA: τὴν ... ζώνην S **11** ὠρίωνος MΔAS: ὁρίζοντος U **12** τε MS: *om.* ΔUA.

14–18 MΔAS (*45v,2–5*) **14** τῆς ἐννεακαιδεκαετηρίδος ΔS: τῆς ἐννεακαιδεκατηρίδος M τῶν ἐννεακαιδεκαέτων A (*ex* –στων *ut. vid.*) **17–18** καταληπτὰ ... γίνεσθαι MΔA: ἐν τῇ νυκτὶ καταληπτὰ γίνεσθαι τοῖς ἀνθρώποις S **17** *post* νυκτὶ *add.* μάλα M μάλλα A: *non in* ΔS | γίνεσθαι ΔAS: γενέσθαι M.

ἄ λ λ ω ς: Μέτων τις γέγονε παλαιὸς ἀστρονόμος, ὃς ἀκριβῶς ἀριθμήσας εἶπε μικρὸν ἐνιαυτὸν ὡς πρὸς σύγκρισιν τοῦ μεγάλου, περὶ οὗ πάλαι ἐλέγομεν, ὅταν σύνοδος τῶν ζ′ ἀστέρων ἐν μιᾷ μοίρᾳ γένηται ἐπὶ ἀπωλείᾳ τοῦ παντός. δεξάμενοι τοίνυν οἱ μετ' αὐτὸν ἀστρονόμοι πίνακας ἐν ταῖς πόλεσιν ἔθηκαν περὶ τῶν τοῦ ἡλίου περιφορῶν τῶν ἐννεακαιδεκαετηρίδων, ἀριθμήσαντες ὅτι καθ' ἕκαστον ἐνιαυτὸν τοιόσδε ἔσται χειμών, καὶ τοιόνδε θέρος, καὶ τοιόνδε φθινόπωρον, καὶ τοιοίδε ἄνεμοι, καὶ ἄλλα πολλὰ πρὸς βιωφελεῖς χρείας τοῖς ἀνθρώποις. MΔKUAS

ἐπειδὴ οὖν ἤδη ταῦτα ἐγνώσθη ἐκ τῶν πινάκων, καὶ αὐτὸς ἐκεῖθεν ἔγνω τὰ πολλὰ ὁ Ἄρατος, φησὶν ὅτι „καὶ αὐτὸς γινώσκεις· πάλαι γὰρ ἀ ε ί δ ε τ α ι καὶ MKUAS

1–11 MΔKUAS (*45ᵛ,25–35*) **1** ἄλλως MΔKUA: γινώσκεις τὰ πάντα S | τις γέγονε MΔKAS: γέγονέ τις U **2** ὃς MΔKUA: ὅστις S | ἀριθμήσας MKUAS: ἐρευνήσας Δ | εἶπε MΔKAS: *om.* U | πρὸς MΔKUA: κατὰ S **3** τοῦ MΔKUA: τούτου S | πάλαι US (*sic Maass e coni.*): πάλιν MΔKA *cf. supra sch. 458* | ὅταν K: ὅτε M *ut vid.* AS ὅτι ΔU **4** ἐν μιᾶ μοίρα S: *om.* MΔKUA **5** μετ' αὐτὸν S: μετὰ Μέτωνα MΔKUA **6** τοῦ MΔKUA: *om.* S **7** τῶν ἐννεακαιδεκαετηρίδων MΔKA: τῶν ιθ′ ἑταιρίδων U τῆς ἐννεακαιδεκαετηρίδος S **7–8** ἀριθμήσαντες S: *om.* MΔKUA **8–9** ἔσται χειμὼν MΔKAS: χειμὼν ἐστὶ U **9** καὶ (*ante* τοιόνδε θέρος) MΔKUA: ἢ S **10** ἄλλα S: *om.* MΔKUA | πολλὰ MΔKAS: πολλῶ U | πρὸς βιωφελεῖς χρείας MΔKA: εἰς βιωφελῆ χρείαν S βιωφελέστεροι U.

12–p. 382,5 MKUAS (*45ᵛ,35–41*) **12** ἐπειδὴ MKUA: ἐπεὶ S | οὖν ἤδη ταῦτα M: δὲ ταῦτα ἤδη K δὲ ἤδη ταῦτα AC οὖν τὰ πολλὰ ταῦτα U οὖν ταῦτα S | ἐγνώσθη ἐκ τῶν πινάκων MKA: ἐκ τ– πιν– ἐγνώσθη S *om.* U **12–13** καὶ αὐτὸς MKAS: *om.* U **13** τὰ πολλὰ MKAS: *hic om.* U **14** αὐτὸς MS: αὐτὰ KA αὐτ' U | *post* γινώσκεις *libenter transtulerim ea quae infra* (*p. 382, l. 10*) *leguntur*: καὶ ἔμαθες ἀπὸ τῶν παλαιοτέρων | πάλαι γὰρ MKAS: ὅτι πάλαι U | ἀείδεται MKUAS: *fortasse* ᾄδεται *scribendum* | *ante* καὶ φανερὰ *add.* καὶ φαίνεται KUA: *non in* MS

φανερὰ τοῖς Ἕλλησι γέγονεν“. ἐδέξαντο δὲ αὐτὰ Ἕλληνες παρ' Αἰγυπτίων καὶ Χαλδαίων. ποῖα οὖν ἐστι ταῦτα ἃ σ υ ν α ε ί δ ε τ α ι ἐπήγαγε, τὰ κ ύ κ λ α καὶ αἱ περιφοραὶ αἱ διὰ ἐννεακαίδεκα ἐτῶν γινόμεναι τοῦ ἡλίου.

MKA φησὶν οὖν ὅτι πάντας τοὺς ἀστέρας ὁ ἥλιος ἐπέρχεται καθ' ἕκαστον ἐνιαυτὸν ἄλλοτε ἄλλῳ ἐμπελάζων, ὁτὲ μὲν ἀνιών, ὁτὲ δὲ καὶ δύνων.

MΔUA 754. — ὅ σ σ α τ' ἀ π ὸ ζ ώ ν η ς: ὅσα, φησί, [καὶ ἔμαθες ἀπὸ τῶν παλαιοτέρων] ἀπὸ τῆς ζώνης τοῦ Ὠρίωνος πάλιν εἰς αὐτὸν τὸν Ὠρίωνα ἡ νὺξ ἄστρα ἐπιφέρει, καὶ ὅσα ἀπὸ τοῦ Κυνὸς εἰς αὐτὸν τὸν Κύνα. βούλεται δὲ καὶ περὶ πάντων εἰπεῖν τῶν ἀπλανῶν· προειπὼν δὲ περὶ τῶν ἄλλων ... [πολλοὶ γὰρ οἱ πρὸ Ἀράτου, περὶ Εὔδοξον καὶ Ἵππαρχον καὶ ἄλλοι τινές] ἤρξατο δὲ ἀπὸ Ὠρίωνος ὅτι ὑπόκειται Καρκίνῳ, καὶ ὅτι μάλιστα εἰς αὐτὸν οἱ πλέοντες ὁρῶσι, καὶ ὅτι νότιός

---

1 γέγονεν **MKUAS**[pc]: γίνεται S[ac] | *post* γέγονεν *transferenda videntur esse ea quae infra ll. 14–15 invenies*: πολλοὶ γὰρ οἱ πρὸ Ἀράτου, περὶ Εὔδοξον καὶ Ἵππαρχον καὶ ἄλλοι τινές; *cf. sch. 83 ubi Hipparchus, cum Eudoxo coniunctus, eodem errore Arato anterior fuisse dicitur* **1–2** ἕλληνες **MKA**: οἱ ἕλλ– **US** **2–3** ἐστι ταῦτα ἃ *om.* S **3** ἃ συναείδεται **MK**: καὶ συνείδεται A συναείδεται S *om.* U | *post* ἐπήγαγε *sic scholii finem facit* U: αἱ περιφοραὶ τοῦ ἡλίου αἱ διὰ ιθ' ἐτῶν γινόμεναι τοῖς ἀνθρώποις **4** περιφοραὶ **MS**: περιφ– τοῦ ἡλίου **KA** (*cf.* U) | αἱ διὰ M: καὶ διὰ **KAC** αἱ (διὰ *om.*) S | γινόμεναι **MK**[pc]**S**: γενόμεναι K[ac]A.

6–8 MKA **7–8** ὁτὲ ... ὁτὲ Est: ὅτε ... ὅτε **MA** ὅτε ... ὁτὲ K.

9–p. 383,2 MΔUA *lemma* **MΔUA** **10** καὶ ... παλαιοτέρων **MΔUA**: *seclusi, vide supra ad p. 381, l. 14* **11–12** ἄστρα ἐπιφέρει **MA**: ἐπιφέρει ἄστρα **ΔU** **12** καὶ ὅσα ... τὸν Κύνα *huc transt. Bekker*: *post* ἀπλανῶν **MUA** *om.* Δ **13** καὶ **ΔU** *ut vid.* A: *om.* M **14** προειπὼν **ΔU**: προεῖπον **MA** *edd.* | δὲ **MΔA**: *om.* U | τῶν **MΔA**: *om.* U | *lacunam indicavi* **14–15** πολλοὶ ... τινές *seclusi*: *vide supra ad l. 1* **14** πολλοὶ γὰρ **MΔU**: *om.* A | οἱ **MΔA**: *om.* U **15** *fortasse scribendum est* οἱ περὶ **16** ἤρξατο **MΔU**: ἤρξαντο A | ὠρίωνος **MΔA**: τοῦ ὠρ– U **17** μάλιστα **MUA**: *om.* Δ | οἱ **MΔA**: καὶ οἱ U | καὶ ὅτι **MΔA**: ὅτι καὶ U

ἐστιν, ἐκ δὲ τῶν νοτίων μερῶν ἀεὶ ἐκδέχονται ἐσόμενον χειμῶνα.

ἄλλως: ὅσα ἄστρα ἀπὸ τῆς ζώνης τοῦ Ὠρίωνος MA
εἰς ἔσχατον Ὠρίωνα, ὅ ἐστι μέχρι τῶν ποδῶν αὐτοῦ, ἡ νὺξ ἐπιδινεῖται. ἀπὸ κοινοῦ δὲ τὸ γινώσκεις.

ἀρχὴ δὲ τοῦ ἐνιαυτοῦ ἐστιν ἡ τῆς ζώνης τοῦ Ὠρίω- MΔUA
νος ἐπιτολή, τέλος δὲ τῶν ποδῶν τοῦ Ὠρίωνος ἡ ἐπιτολὴ καὶ τοῦ Κυνός. εἰς τρία δὲ αὐτοῦ διήρηται ἡ ἐπιτολή, ὦμον, ζώνην, πόδας.

756. — οἵ τε Ποσειδάωνος ὁρώμενοι: MΔUAS
οὐ μόνον, φησίν, ὁ ἀριθμὸς τῆς ἐννεακαιδεκαετηρίδος ἐστὶν εὔχρηστος τοῖς ἀνθρώποις, ἀλλὰ καὶ τῶν λοιπῶν ἀστέρων αἱ παρατηρήσεις, τῶν τε Ποσειδῶνος καὶ τῶν τοῦ Διός. εἰσὶ δὲ Ποσειδῶνος μὲν ἀστέρες οἱ τοὺς χειμῶνας καὶ τὰς εὐδίας δηλοῦντες, Διὸς δὲ οἱ τὰ πρὸς γεωργίαν εὔχρηστα μηνύοντες. ὅταν οὖν μέλλῃς πελαγίῳ δρόμῳ σεαυτὸν ἐμπιστεύειν, πολυπραγμόνησον πρῶ-

---

1 ἐκ δὲ **MUA**: καὶ ἐκ **Δ** | τῶν **MΔ**: *om.* **UAC** | ἀεὶ **ΔU**: καὶ ἀεὶ **M** ἀεὶ *post* ἐκδέχονται **AC** | ἐκδέχονται **MA**: προσδέχεται **ΔU** | ἐσόμενον **MA**: *om.* **ΔU** *qui signum finis non praebent.*

3–6 MA

7–10 MΔUA **7** ἐστιν **MUA**: *om.* **Δ** **7–8** ὠρίωνος **MΔ**^{sl}**UA**: καρκίνου **Δ** **8–9** τέλος ... κυνός **MU** (τῶν ποδῶν *et* καὶ τοῦ κυνός *om.*) **A** (ὠρίωνος *om.*): *om.* **Δ** **10** ὦμον ζώνην πόδας **MU** (πόδα): εἰς ὦμον. εἰς ζώνην. εἰς πόδα **Δ** ὦμον. πόδα. ζώνην **AC.**

11–p. 384,6 MΔUAS (*45*^{v}*, 11–22 haud suo loco*) *lemma* **MA**: οἵ τε ποσειδάωνος (–ονος **U**) **ΔU** τοὺς πάντας (*v. 748*) **S** **12–13** οὐ μόνον ... ἀλλὰ καὶ *om.* **S** **12** μόνον **MUA**: μόνος **Δ** | ὁ ἀριθμὸς **MΔA**: *om.* **U** | ἐννεακαιδεκαετηρίδος **Δ**^{pc}: –καετερίδος **M** –κατηρίδος **ΔUA** **14** ἀστέρων **MΔA**: ἄστρων **S** *om.* **U** | τῶν **MUA**: τοῦ **Δ** αἵ **S** | τῶν **UA**: *om.* **MΔS** **15** τοῦ **MΔUA**: *om.* **S** | ποσειδῶνος **MΔAS**: τοῦ π– **U** | μὲν **MΔAS**: *om.* **U** **16** δηλοῦντες **MΔAS**: ἀποτελοῦντες **U** **17** μηνύοντες **MΔ**^{sl}: σημαίνοντες **Δ** δεικνύοντες **UA** δηλοῦντες καὶ μηνύοντες **S** | μέλλῃς **MΔAS**: *om.* **U** **17–18** πελαγίω .. ἐμπιστεύειν (–τεύσει **U** *ut vid.*) **MUAS**: πλεῖν **Δ** | πελαγίω δρόμω **MUA**: πελαγιοδρόμοις **S** **18** σεαυτὸν **MU** (*in lacuna*) **A**: *om.* **S**

τον τὴν παρατήρησιν τῶν τὰς εὐδίας ἢ τοὺς χειμῶνας δηλούντων ἀστέρων. κόπος μὲν γὰρ βραχὺς τυγχάνει τῷ βουλομένῳ τὴν τῶν σημείων ἀκρίβειαν μετέρχεσθαι, ἡ δὲ ὠφέλεια πολλὴ ἐκ τῆς τούτων ἐμπειρίας τοῖς ἀσφαλείας προνοουμένοις ἀνθρώποις. ἑαυτούς τε γὰρ τότε σώζουσιν

ΜΔUA οἱ ἄνθρωποι πρῶτον οἱ τὴν παρατήρησιν αὐτῶν ἔχοντες [τῶν τε ἀνατολῶν καὶ δύσεων τῶν ἄστρων], καὶ τοῖς ἄλλοις παραίτιοι γίνονται ἀσφαλείας, προμηνύοντες αὐτοῖς τὰς μέλλουσας τοῦ ἀέρος περιστάσεις ἐκ τῶν περὶ οὐρανὸν σημείων.

ΜΔKUA 758. — τῷ κείνων πεπόνησο: διὸ ἐκείνων τῶν ἀστέρων τῶν βιωφελῆ χρείαν ἐχόντων ἐν ἐπι-
MKUA μελείᾳ ἔσο, καὶ γίνωσκε καὶ μάνθανε αὐτούς. ὀλίγος μὲν γὰρ ἐκ τούτων κάματος, τουτέστιν ἐκ τῆς μαθήσεως, πολὺ δὲ τὸ βιωφελές ἐστι τῷ ταῦτα παρατηροῦντι

1–2 τῶν τὰς .... ἀστέρων **ΜΔUA**: τῶν ἄστρων τῶν τὰς εὐδίας ἢ τοὺς χειμῶνας σημαινόντων **S** **2** κόπος **ΜΔUA**: κόσπος **S** | μὲν γὰρ **MAS**: γὰρ **Δ** μὲν **U** **2–3** βραχὺς τυγχάνει τ– β– **M**: τυγχάνει βραχὺς τ– β– **ΔU** ἐστι τ– β– βραχὺς **A** (ἐστι βραχὺς τ– β– **C**) τυγχάνει βραδὺς τοῖς βουλομένοις **S** **3** ἀκρίβειαν μετέρχεσθαι **MΔS**: ἀκρίβειαν περιέρχεσθαι **U** μαθεῖν ἀκρίβειαν **A** μετέρχεσθαι *om.* **C** **4–5** ἐκ τῆς ... ἀνθρώποις **S**: *om.* **ΜΔUA** (*cf. Arat. 761–762* „τὸ δὲ μυρίον αὐτίκ' ὄνειαρ γίνετ' ἐπιφροσύνης αἰεὶ πεφυλαγμένῳ ἀνδρί.“) **5–6** ἑαυτοὺς ... σώζουσιν *om.* **Δ** **8** τε γὰρ **MA**: γὰρ **U** *om.* **S** **6** τότε **MUA**: *om.* **S**.

7–11 ΜΔUA *haec sic in* Δ *breviata sunt*: προγινώσκουσι γὰρ τὰς μέλλουσας τοῦ ἀέρος περιστάσεις ἐκεῖθεν **8** τῶν τε (*om.* **A**) ... τῶν ἄστρων **MA**: τῶν ἄστρων τῶν ἀνατολῶν καὶ δύσεων **U** *seclusi* **9** τοῖς **UA**: *om.* **M** **10** αὐτοῖς τὰς **M**: ἑαυτῶν **U** αὐτοῖς **A** | ἀέρος **MΔ**: ἀστέρος **UA** | περιστάσεις **MΔ**: τὰς περιστάσεις **U** ἐπιστάσεις **A**.

12–16 ΜΔKUA (*post* ἔσο *l. 14 deficit* Δ) *lemma* **MKUA**: [τ]ῶ κείνων **Δ** **13** ἀστέρων *scripsi* (ἀστέρες *Arat. 757*): ἄστρων **ΜΔKUA** | ἐν **ΜΔKU**: *om.* **A** **13–14** ἐπιμελείᾳ **ΜΔKA**: εὐμελείᾳ **U** **14** καὶ γίνωσκε καὶ μάνθανε **MUA**: καὶ γίν– καὶ μάνθ– καὶ γίνωσκε **K** **15** γὰρ **MKA**: *om.* **U** **15** τουτέστιν ἐκ τῆς μαθήσεως **MKA**: *om.* **U**

ἀνδρί ἐπιφροσύνης καὶ λογισμοῦ.

τὸ δὲ μέλοι δέ τοι, περὶ δὲ τούτων τῶν ἄστρων μελέτω σοι ὅσα κεχρημένα καὶ ἀσφαλῶς εἰρημένα περὶ πλοῦ ἐστιν, ὅταν ἐν νηῒ σαυτὸν πιστεύῃς, καὶ μέλλῃς εὑρεῖν πόθεν ἔσται κύματα. MΔKUA

763. — αὐτὸς μέν: αὐτὸς μὲν τὰ πρῶτα ἀπὸ βλαβῶν σῴζεται, ἄλλῳ δὲ ἐκ δευτέρου παραινέσας μεγάλως ὠφέλησεν, διδάξας πότε πλησιάζει χειμών. S

765. — πολλάκι γάρ καί τίς τε: πολλάκις γὰρ γαλήνης οὔσης θεασάμενός τις ἀνὴρ ἔμπειρος σημεῖόν τι διὰ τῆς νυκτός, προέγνω χειμῶνα MΔKUA

ἐπιγενησόμενον, καὶ ἀσφαλισάμενος τὴν ναῦν ἐμπειρίᾳ ναυτικῇ διεσώθη. MKA

ἄλλως: πολλάκις γάρ, φησί, καὶ γαλήνης ὑπαρ- MΔKAS

---

1 ἐπιφροσύνης *scripsi ex Arato*: ἐπιφροσύναις MKUA | λογισμοῦ *scripsi*: λογισμοῖς MKA λογισμῶ U.

2–5 MΔKUA *lemma* τὸ δὲ μέλοι (μέλει A) δέ τοι MA: [ε]ἴ ποτε νηῒ Δ εὑρεῖν ὅσα που U **2** δὲ MKUA: *om.* Δ | ἄστρων ΔKUA (σήματα *Arat. 760*): ἀστέρων M **3** κεχρημένα Est (*sic Aratus 759*): κεκριμένα MΔ κεκρυμμένα K^{pc} UA και χρυμμ– K^{ac} **3–4** ἀσφαλῶς εἰρημένα MΔKA: εἰρημένα ἀσφαλῶς U **4** ἐστιν MΔKA: εἰσὶν U | ἐν MKUA: *om.* Δ *secl. Maass fortasse recte* **5** μέλλῃς ΔKU: μέλῃς M μέλλεις A | ἔσται MΔKA: ἐστὶ U.

6–8 S *haec eadem fere forma bis praebet* (*45^{v},22–25* = S^{1}; *45^{v},41–44* = S^{2}) *et ante et post eam adnotationem in qua de metoniano cyclo agitur* (*supra p. 381, l. 1–p. 382, l. 5*) | *lemma* S^{1} S^{2} **6** αὐτὸς *scripsi:* σὺ S^{1} ἀντὶ τούτους (= ἀντὶ τοῦ αὐτὸς ?) S^{2} | τὰ πρῶτα S^{1} (*sic Aratus*): πρῶτον S^{2} **7** σώζεται S^{2}: σώζεσαι S^{1} | ἄλλω δὲ S^{1}: ἀλλὰ καὶ S^{2} **8** ὠφέλησεν *scripsi* (ὤνησεν *Aratus*): ὠφέλησας S^{1}S^{2} | πλησιάζει χειμὼν S^{1}: χειμὼν πλησιάζει S^{2}.

9–11 MΔKUA *lemma* MKA: πολλάκι γὰρ ΔU **9–10** πολλάκις γὰρ MΔKA: *om.* U **10** *post* γὰρ *add.* φησι KA | τις MΔ^{sl}KUA: *om.* Δ **10–11** ἔμπειρος σημεῖον MΔ^{pc}KUA: σημεῖον ἔμπειρον Δ^{ac} **11** τι MKA: *om.* ΔU.

12–13 MKA

14–p. 386,8 MΔKAS (*45^{v},44–53*) ἄλλως MΔKA: πολλάκι γάρ τις καὶ γαληναίη ὑπὸ νυκτὶ S **14** γάρ φησι MΔ: γάρ τις φησὶ KA (τις *evan.*) C γὰρ S | καὶ MΔS: *om.* KAC | ὑπαρχούσης MΔKA: ὑπαρχούσης φησὶν S

χούσης, ἀσφαλίζεταί τις περὶ τῆς νηὸς ἐκ τῆς περὶ τὰ μέλλοντα προγνώσεως. οὐ γὰρ ἐκ τοῦ παραχρῆμα γίνονται οἱ χειμῶνες, ἀλλὰ πολλάκις ἐκ τῶν σημείων τεκμαιρόμεθα καὶ μετὰ τρεῖς ἡμέρας χειμῶνα γενησόμενον καὶ μετὰ πέντε, καὶ πολλάκις ἀπροσδόκητος χειμὼν ἐπέρχεται. οὐ γὰρ πάντα οἱ ἄνθρωποι τὰ σημεῖα ἐπιστάμεθα, ἀλλ' ἔτι καταλείπεται ἡμῖν ἄδηλά τινα, ὧν ἴσως ἐξ ὑστέρου δώσει καὶ ἡμῖν ὁ θεὸς τὴν γνῶσιν.

S ἀεὶ γὰρ ὠφελεῖ τὸ τῶν ἀνθρώπων γένος πανταχόθεν ὁρώμενος καὶ παρέχων τὰ φανερὰ ἡμῖν σημεῖα. τὸ δὲ πάντοθεν εἰδόμενος οἱ μὲν διὰ γῆς, διὰ θαλάσσης, διὰ παντὸς τοῦ κόσμου, οἱ δὲ διὰ κληδόνων, διὰ μαντειῶν, δι' ὀνείρων, διὰ σημείων, διὰ τῶν ὁμοίων. Ζεὺς γὰρ οὐρανός, ὡς καὶ ἐν ἄλλοις (224) ἐν Διὸς εἰλεῖται, ἀντὶ τοῦ ἐν οὐρανῷ. ὁ μὲν οὖν οὐρανός, φησίν, ἐκ τῶν ἐγκειμένων αὐτῷ ἀστέρων δίδωσι σημεῖα, ἄλλα δὲ παρέχει ἡ σελήνη διχότομος γινομένη ἑκατέρωθεν τοῦ πλήθους (τοῦτο δὲ εἶπεν ἐπειδὴ ⟨δὶς⟩ καθ' ἕκαστον μῆνα διχότομος ὁρᾶται), ἀλλὰ καὶ πεπληθυῖα (774), πληροσέληνος. συμβάλλεται δὲ εἰς πρόγνωσιν οὐκ ὀλίγα ⟨σημεῖα⟩ εὐδίας τε καὶ χειμῶνος καὶ ὁ ἥλιος δύνων τε καὶ ἀνατέλλων, ἃ μὲν εἰς ὅλον

---

1 τῆς *ante* νηὸς KAC : *om.* MΔS | νηὸς MΔKA : νεὼς S **4** τρεῖς ἡμέρας MΔKA : τρίτην ἡμέραν S **4–5** γενησόμενον *hic* M : *post* πέντε KA *ante* χειμῶνα S *om.* Δ *fortasse delendum* **5** καὶ πολλάκις MKAS : πολλάκις δὲ καὶ Δ | ἀπροσδόκητος MΔ : –δοκήτως KAS **5–6** χειμὼν ἐπέρχεται MA : ἔρχεται χειμὼν Δ ἐπέρχεται χειμὼν S ἐπέρχεται (χειμὼν *om.*) K **6** πάντα MΔS : πάντες KA **7** ἐπιστάμεθα *post* σημεῖα MΔKA : *ante* οἱ ἄνθρωποι S | καταλείπεται MΔKA : ἐγκαταλείπεται S **8** δώσει καὶ ἡμῖν ὁ θεὸς MΔKA : ἡμῖν ὁ θεὸς ποιήσει S | τὴν γνῶσιν MΔ : γνῶσιν S τοῦ γνῶναι KA *nullum finiti scholii signum in* S.

9–p. 386,11 S (*45ᵛ–46ʳ,10*) *eadem fere alio ordine disposita in* MΔKUA *inveniuntur* (*infra p. 387 l. 16–p. 388, l. 15*) *sed codicis* S *recensionem separatim edere malui*; *lemma nullum in* S **10** ἡμῖν *scripsi* : ἡμῶν S **15** εἰλεῖται *correxi* : εἰλῆται S **18** δὶς *addidi*, *cf.* MΔKUA *infra* **20** συμβάλλεται *correxi* : συμβάλεται S **21** σημεῖα *addidi*

μῆνα, ἃ δὲ καὶ ἐπ' αὐτὴν ⟨τὴν⟩ ἡμέραν. ὁ γὰρ ἥλιος ἀνατέλλων σημεῖον τῆς ἡμέρας ὑπάρχει, ἤτοι χειμερίου ἢ εὐδίας, καὶ δύνων δὲ τῆς νυκτός. ὁποίου μέντοι μηνὸς τὰ ζῴδια γίνονται σημεῖα. ὁ γὰρ Εὔδοξος Κριὸν μέν φησιν ἡλίου διερχομένου μαλακὰ γίνεσθαι τὰ πνεύματα, ὁμοίως καὶ Ταῦρον· ὅταν ⟨δὲ⟩ Διδύμους, ζεφύρους τε πνεῖν καὶ βορέας ψυχρούς. καὶ καθ' ἕκαστον τῶν ζῳδίων πειρᾶται προσημαίνειν τὴν τοῦ ἀέρος ⟨περίστασιν⟩, ὅπερ ἐγίνετο ἂν εἴπερ ἐξ ὁλοσχερῶν ἡμερῶν ὁ ἐνιαυτὸς εἴη. εἰ μέντοι γε ἐπιτρέχει τὸ μόριον, οὐκέτι ἂν συμπίπτον τοῦτο καθ' ἕκαστον ἐνιαυτὸν εἴη.

767. — ἄλλοτε δὲ τρίτον: ποτὲ μὲν μετὰ KA
τρεῖς ἡμέρας γεννᾶται χειμών, ποτὲ δὲ μετὰ πέντε ⟨ἢ⟩ ἀπροοράτως, ἀλλ' ὅμως ἐκ τῶν πρώην γινομένων σημείων προγινώσκομεν.

771. — Ζεύς: ὁ οὐρανός, ὡς καὶ ἐν ἄλλῳ (265) MΔKUA
Ζεὺς αἴτιος. καὶ „ὁ μὲν οὐρανός, φησίν, ἐκ τῶν ἐγκειμένων αὐτῷ ἀστέρων δίδωσιν ἡμῖν σημεῖα, ἄλλα δὲ ἡμῖν παρέχει ἡ σελήνη διχότομος γινομένη (τοῦτο δὲ εἶπεν ἐπεὶ καθ' ἑκάστην αὐτῆς περίοδον διχότομος γίνεται δίς), ἀλλὰ καὶ πεπληθυῖα, τουτέστι πληροσέληνος οὖσα". συμβάλλεσθαι δὲ οὐκ ὀλίγα εἰς πρόγνωσιν εὐδίας τε καὶ χειμῶνος τὸν ἥλιον δύνοντά

1 τὴν *addidi* **3** *post* νυκτὸς *distinxi* | ὁποίου *scripsi*: ὃ παρὰ S *ex* ὁποῖα *ortum* (*cf.* MΔKUA *infra p. 388, l. 4*) **5** γίνεσθαι *scripsi*: γίνεται S **6** δὲ *addidi* **8–9** περίστασιν *addidi* **10** εἴη S[pc]: εἴην S[ac] *ut vid.*

12–15 KA *lemma* KA **13** γεννᾶται K: γενᾶται A **14** ἢ *add. Maass* (*iam* ποτὲ δὲ καὶ Est).

16–p. 388,8 MΔKUA (*cf. supra p. 386, ll. 14sqq.*) *lemma* MKU (*qui post* Ζεύς *non dist.*) A: [Ζ]εύς. ὁ γὰρ οὖν Δ **16** ὁ MUA: *om.* ΔK | ὡς καὶ MΔKA: *om.* U **17** αἴτιος MKUA: δ' αἴτιος Δ (*sic Arat. 265*) **18** ἐγκειμένων αὐτῶι MKA: αὐτῷ ἐγκ– Δ αὐτῷ κειμένων U | σημεῖα MKUA: τὴν γνῶσιν Δ **19** σελήνη MKA: *om.* ΔU **20** ἐπεὶ MKUA: ἐπειδὴ Δ | αὐτῆς *om.* U *ut vid.* (*evan.*) **22** πληροσέληνος MΔKA: πληρωμένη U | συμβάλλεσθαι MKA: συμβάλλεται ΔU | ὀλίγα MKUA: ὀλίγον Δ **23** πρόγνωσιν ΔKUA: πόγνωσιν M | τὸν ἥλιον MKUA: ὁ ἥλιος Δ **23–p. 388,1** δύνοντά τε καὶ ἀνατέλλοντα MKUA: ἀνατέλλων τέ καὶ δύων Δ

τε καὶ ἀνατέλλοντα, ἃ μὲν εἰς ὅλον μῆνα, ἃ δὲ εἰς αὐτὴν τὴν ἡμέραν. ὁ γὰρ ἥλιος ἀνατέλλων σημεῖα τῆς ἡμέρας παρέχει ἤτοι χειμερίου ἢ εὐδινῆς, ἢ καὶ δύνων γε τῆς νυκτός. ὁποῖα μέντοι γε μηνὸς τὰ ζώδια γίνεται, σημεῖα διέρχεται. ὁ γοῦν Εὔδοξος Κριὸν μέν φησιν ἡλίου διερχομένου μαλακὰ γίνεσθαι πνεύματα, ὁμοίως δὲ καὶ Ταῦρον· ὅταν δὲ Διδύμους, ζεφύρους τε πνεῖν καὶ βορέας ψυχρούς.

MΔKUA ὃ γὰρ οὖν γενεήν: οὗτος γὰρ ἀεὶ τὸ τῶν ἀνθρώπων γένος ὠφελεῖ πανταχόθεν καὶ ἐν παντὶ ὁρώμενος καὶ παρέχων τὰ φανερὰ σημεῖα. τὸ δὲ πάντοθεν εἰδόμενος οἱ μὲν οὕτως „διὰ γῆς, διὰ θαλάττης, διὰ παντὸς μέρους τοῦ κόσμου", οἱ δὲ οὕτως ἐξέλαβον „διὰ κληδόνων, διὰ μαντειῶν, δι' ὀνείρων, διὰ σημείων, διὰ τῶν παραπλησίων πάντων".

S 774. — ⟨πλήθουσ' ἀμφοτέρωθεν⟩: κατὰ μήν τινας ὁριζομένας περιόδους, [πλήθουσι.] τὸ ἐφ'

---

1 ἃ δὲ MΔU: ἃ δὲ καὶ KAC **2–4** ὁ γὰρ ἥλιος ... τῆς νυκτὸς MKUA: *om.* Δ *qui add.* ἄλλως **2** τῆς ἡμέρας MKA: τῶν ἀστέρων U **3** χειμερίου MKA: χειμέριον U | εὐδινῆς MU: εὐδιεινῆς KAC **4** *post* νυκτὸς *dist.* KUA: *non* M **4–5** ὁποῖα ... διέρχεται MΔKUA (*post* γίνεται *dist.* MK): ὁποῖα μέντοι γε τοῦ μηνὸς σημεῖα γίνεται, ὅτε τὰ ζώδια διέρχεται δείκνυσιν Est *cf.* S *supra p. 387, ll. 3–4* **4** μέντοι γε MKA: μέντοι δὲ U *ut vid. om.* Δ **5** γοῦν M: μέντοι ΔKUA | Κριὸν MΔKA: κριῷ U **6** μαλακὰ MΔKA: μαλακὸν U | γίνεσθαι Est: γίνεται MKA (*cf.* S *p. 387, l. 4*) εἶναι Δ γὰρ U | πνεύματα MΔKA: πνεῦμα U **7** δὲ MKUA: *om.* Δ **7–8** ζεφύρους τε πνεῖν καὶ βορέας (βορέαν M) ψυχρούς MKA: ζεφύρους ποιεῖν καὶ βορέας Δ ζέφυρος πνεῖ ἢ βορέας U.

9–15 MΔKUA (*cf. supra p. 386, ll. 9–13*) *lemma* MΔKA: ὃ γὰρ οὖν U **9** ἀεὶ MΔ: ὁ Ζεὺς ἀεὶ U ἀεὶ ὁ Ζεὺς KA **10** καὶ ἐν παντὶ MΔKA: ἀεὶ παντ (?) U (*evan.* ὁρώμενος *om. ut vid.*) **11** τὸ δὲ MΔU: *om.* KA **13** θαλάττης MΔ: –σσης KUA **14** ἐξέλαβον MKUA: *om.* Δ | μαντειῶν MΔUA: μαντείας K **15** διὰ τῶν παραπλησίων πάντων MKUA: καὶ διὰ τοιούτων Δ.

16–p. 389,2 S (*46ʳ,10–11*) *lemma restitui* **17** ὁριζομένας *scripsi*: ὁρωμένας S | πλήθουσι *seclusi ut e lemmate ortum* (πλήθουσ' S *in Arateo textu*).

ἑκάτερον τῆς πληροσελήνου ἀρχομένης τε καὶ ληγούσης, καὶ αὐτὴν τὴν πληροσέληνον.

778. — σκέπτεο δέ: κελεύει δὲ θεωρεῖν αὐτοὺς ἀμφοτέρας τὰς κεραίας· ,,ἀπὸ πρώτης αὐξήσεως σκόπει τὴν σελήνην ἐξ ἀμφοτέρων τῶν κεράτων. διάφορος γὰρ αὐτῇ λαμπηδὼν ἐπίκειται". S

σκέπτεο δέ: περισκέπτου δὲ πρῶτον, τουτέστιν ἐν τῇ τρίτῃ ἡμέρᾳ, ᾗ καὶ φαίνεται. [τῶν] κεράων, αὐτῆς τῆς σελήνης. ἐξ αὐτῶν γάρ ἐστι καταλαβεῖν τὰ ἐναντία ὄντα ἀλλήλοις, τουτέστι χειμῶνά τε καὶ εὐδίαν. MΔKUA

779. — ἄλλοτε γάρ τ' ἄλλῃ μιν: πρὸς τὴν ἑσπέραν καὶ δύσιν, ὅτε καὶ ἀρχὴν ἔχει, ἀπὸ συνόδου οὖσα ἡλίου. εἴπομεν γὰρ ὅτι τὰς ἀρχὰς ἀπὸ συνόδου οὖσα τοῦ ἡλίου πρὸς τὴν ἑσπέραν φαίνεται, εἰκότως. εἰ γὰρ νομίζεται Ταύρῳ εἶναι ὁ ἥλιος περὶ τρίτην ἢ τετάρτην, αὕτη δὲ τοῦ Ταύρου περὶ τριακοστὴν μοῖραν δύναντος τοῦ ἡλίου, λοιπὸν αὕτη πρὸς τῇ δύσει φαίνεται ἕως οὗ ὅλος ὁ Ταῦρος κατενεχθῇ· καὶ ἐὰν ᾖ Διδύμοις, MΔKUA

3–6 S (*46ʳ,11–13*) *lemma* S **4** *post* κεραίας *distinxi.*

7–11 M (*in mg. int., sed sub alphabetico signo*) **ΔKUA** *lemma* MΔKA: σκέπτεο U *ut vid.* **7** περισκέπτου MΔKA: περισκέπτεο U | δὲ *altero loco* MU *ut vid.* A: δὴ Δ *om.* K **8** ἧι MΔKA: ἣ U | τῶν *seclusi* **8–9** κεράων MKUA: κεράτων Δ τὰ κέρατα Est **9** τῆς σελήνης MKUA: τῆς σελ– τὰ σημεῖα Δ **10–11** χειμῶνα τὲ (*sic*) καὶ εὐδίαν M: χειμῶνας τὲ καὶ εὐδίας Δ χειμῶνος καὶ τῆς εὐδίας KA χειμῶνος καὶ εὐδίας U χειμῶνος τὲ καὶ εὐδίας C.

12–p. 390,6 **MΔKUA** *lemma* M: ἄλλοτε γὰρ ΔU ἄλλοτε γὰρ ἄλλη μιν KA **13** καὶ² MΔKA: γὰρ U **13–14** ἀπὸ συνόδου οὖσα MΔKU: ἀπὸ συνόδου. συνοδεύουσα πλησίον A **15** ἡλίου MΔ: τοῦ ἡλίου KA ἡλίω U **14–15** εἴπομεν ... ἡλίου MΔ: *om.* KUA **15** τοῦ ἡλίου M: ἡλίου Δ | φαίνεται MΔUA: φέρεται K | εἰκότως MΔKA: εἶναι U **16** Ταύρωι MΔKUA: ἐν Τ– *edd. fort. recte* | τρίτην MΔ: τὴν τρ– KUA **17** αὕτη KAC: αὐτὴ MΔU **18** δύναντος MΔK: δύοντος U δύναντος *vel* δύνοντος A | τοῦ ἡλίου KUA: ἡλίου MΔ *fortasse recte* | αὕτη KA: αὐτὴ MΔU | τῆι δύσει MΔU: τὴν δύσιν KA **19** ἕως οὗ MΔKUA: ἕως οὗ ἂν *Maass* | ἐὰν MΔU: ἐὰν πάλιν KA | Διδύμοις MΔKUA: ἐν Διδ– Est

τοῦ ἡλίου μετὰ τοῦ Ταύρου δύναντος, αὕτη ἄλλας δύο ὥρας ἔχει ὑπὲρ γῆν ἕως καὶ οἱ Δίδυμοι κατέλθωσι. καὶ οὕτως ὅσον αὐτοῦ ἀποκλίνει, μεῖζον τὸ φῶς αὐτῆς γίνεται, καὶ ἀνωτέρω φαίνεται τῆς δύσεως.

ὅτε ἀπὸ συνόδου οὖσα ἄγει τρίτην ἢ τετάρτην ἡμέραν καὶ ἔχει λαμπρὸν τὸ φῶς, εὐδίας ἐστὶ σημαντικόν.

MΔKUAS 780. — ἄ λ λ ο τ ε δ' ἀ λ λ ο ῖ α ι: πολλὰς φαντασίας ἔχει, ὡς καὶ ἐπὶ τῶν ὑδάτων. ὡς γὰρ ἂν ταῦτα ἔχῃ φύσεως, οὕτω καὶ ⟨τὰ⟩ ἐν αὐτοῖς ἡμῖν προσπίπτει. ἀλλοῖα γοῦν τὰ ἐν θολερῷ καὶ παχεῖ τῷ ὕδατι, ἀλλοῖα δὲ τὰ ἐν καθαρῷ.

MΔKUA ποτὲ μὲν οὖν καθαρὸν τὸ φῶς ἐστι, καὶ ἡ μορφὴ δὲ κερατοειδής [ἐστιν], ποτὲ δὲ ἀλλοία καὶ διάφορός ἐστιν. ὁ δὲ νοῦς· „εὐθὺς ἀπὸ συνόδου οὖσα καὶ ⟨ὅτε⟩ γεννᾶται τρίτην ἢ καὶ τετάρτην ἡμέραν, διάφορον αὐτῆς τῶν κεράτων ἔχει τὸ σχῆμα".

---

1 δύναντος MΔKUA^{pc}: –νοντος A^{ac} | αὕτη KA: αὐτὴ MΔU **1–2** δύο ὥρας MKUA: *om.* Δ **2** γῆν MKA: γῆς ΔU | ἕως MΔKUA: ἕως ἂν *Maass* **5** ὅτε ΔKUA: ὅτι M | ἀπὸ ΔKUA: ἀπὸ *vel* ἐκ M (ἔπουν *falso legit Maass*) | τρίτην ἢ τετάρτην ἡμέραν MKUA: τρίτην ἡμ– ἢ τετ– Δ **6** εὐδίας ἐστὶ MKU: ἔστιν εὐδίας Δ | σημαντικόν ΔKUA: –τική M (*cf. vv. 783–784*).

7–11 MΔKUAS (*46ʳ,13–15*) *lemma* S: ἄλλως MΔKUA **7–8** πολλὰς φαντασίας *post* ὑδάτων U **8** ἔχει MKAS: *om.* ΔU | καὶ MAS: *om.* ΔKU **9** ἔχηι MAS: ἔχει ΔKU | τὰ *add.* Est: *om.* MΔKUAS | προσπίπτει MΔKUA: ἐπιπίπτει S **10** γοῦν τὰ KAS (*sententiam om.* C): οὖν τὰ M γ' αὐτὸ Δ γὰρ U | τὰ MΔKAS: *om.* U.

12–16 MΔKUA **12–13** ποτὲ ... διάφορός ἐστιν *om.* U . **12** ποτὲ MKA: καὶ ποτὲ Δ | καθαρὸν *scripsi* (*iam* καθαρόν, ποτὲ δὲ διάφορον *Maass*): διάφορον MΔKA | τὸ φῶς ἐστι MΔ: ἐστὶ τὸ φῶς KAC **13** ἐστιν ... διάφορός ἐστιν MKA: *om.* Δ | ἐστιν *seclusi* | ποτὲ *scripsi*: ὅτε MKA | ἀλλοία Est: ἀλλοῖα MKA **14** ὅτε *addidi* | γεννᾶται MΔU: γεννήσεως KAC **15** τρίτην ἢ καὶ τετάρτην MΔ: τρίτην ἢ τετάρτην KAC καὶ ἡ τρίτη καὶ ἡ τετάρτη U | ἡμέραν MKA: *om.* ΔU **15–16** αὐτῆς (*sic;* αὐτῆς *Maass*) τῶν περάτων (*sic;* κεράτων *Maass*) MKA: *om.* ΔU **16** τὸ MΔU: *om.* KAC.

τὸ δὲ ἐπιγράφει (779) ἐπιχρωτίζει. ἡ μετα- MKAS
φορὰ ἀπὸ τῶν σωμάτων.

κερόωσι δὲ (780) κερατοποιοῦσι, σχηματίζου- MKA
σιν εἰς κεραίας.

782. — τάων καὶ περὶ μηνός: ἀπὸ γὰρ MΔKUAS
τῶν περὶ τὴν αὔξησιν αὐτῆς σημείων δυνήσῃ μαθεῖν
περὶ ὅλου τοῦ μηνὸς εἰ ὀμβρινὸς ἢ ἀνεμώδης ἢ αὐχ-
μηρὸς ἢ νήνεμος ἔσται.

783. — λεπτὴ μὲν καθαρή τε: τουτέστι MΔKUA
„τριταία οὖσα, εἰ μὲν λαμπρὸν εἴη τὸ φῶς, εὐδίας ἐστὶ
σημαντικόν, εἰ δὲ πυρρὸν καὶ ξανθόν, ἀνέμου δηλωτικόν,
εἰ δὲ μέλαν καὶ ζοφῶδες, χειμῶνος καὶ ὑετοῦ". ἔστι
μὲν οὖν αὐτὸ τὸ σεληνιακὸν φῶς διόλου ἀπαθὲς καὶ
λαμπρόν (ἄτοπον γὰρ τοῖς στοιχείοις πάθη διδόναι),

1–2 M (*in mg. int., sed sub signo alphabetico post l. 8*) **KAS** (*45ᵛ in mg. ext. iuxta versus 780–779*) *lemma* ἐπιγράφει KA: *non praebent* MS **1** τὸ δὲ ἐπιγράφει MKA: *om.* S (*ante* ἐπιχρ– *litterae nescio cuius abscissae vestigium*) | ἐπιχρωτίζει MCS: ἐπιχρωματίζει KA **2** σωμάτων MKAS: χρωμάτων *Maass.*

3–4 MKA (*post ll. 1–2 in his tribus codicibus*).

5–8 M (*in mg. int. post p. 390, l. 16*) **Δ**(*post p. 390, l. 16*) **K** (*post l. 4*) **U** (*post p. 390, l. 16*) **A** (*post l. 4*) **S** (*46ʳ,15–17*) *lemma* MΔKUAS **5** γὰρ MΔKUA: *om.* S **6** δυνήσῃ MΔKUA: δυνηθήσῃ S **7** τοῦ MKUAS: *om.* Δ | εἰ Δ: ἢ MKUAS **7–8** ὀμβρινὸς ... ἔσται: ἢ αὐχμηρὸς ἔσται, ἢ ὀμβρινὸς ἢ ἀνεμώδης ἢ νήνεμος ἔσται U **7** ὀμβρινὸς S: ὀμβρινός ἐστιν MΔKA **7–8** ἢ ἀνεμώδης (ἀνεμοειδὴς S) ἢ αὐχμηρὸς MKAS: ἢ αὐχμηρὸς ἢ νηνεμώδης Δ **8** ἢ νήνεμος (νηνέμιος M) ἔσται (ἐστιν Δ) MΔKA: *om.* S.

9–p. 392,8 MΔKUA *lemma* MKA: λεπτὴ μὲν Δ περὶ τρίτον ἦμαρ (*sic*) ἐοῦσα U **9** τουτέστι MΔKA: *om.* U **10** τριταία οὖσα MKA (–ταῖα A): τριταίας οὔσης Δ τριταίας μὲν οὔσης U | εἴη U: ἦι MΔKA **10–11** εὐδίας ἐστι σημαντικὸν (–κὴ KAC) MKA: εὐδίαν σημαίνει ΔU **11** πυρρὸν A: πυρὸν MΔKU | ξανθὸν MΔKUA: ξανθὴ Mᵃᶜ *ut vid.* | ἀνέμου δηλωτικὸν M: ἄνεμον δηλοῖ ΔKUA **12** χειμῶνος καὶ ὑετοῦ MKA: χειμῶνα καὶ ὑετὸν ΔU **13** οὖν MΔUA: *om.* K **14** ἄτοπον MKUA: ἄστοπον Δ | πάθη διδόναι M: διδόναι πάθη ΔKUA

ὁ δὲ περικείμενος ἡμᾶς οὗτος ἀὴρ πρὸς πάντα συμπάθειαν ἔχων τοιοῦτον αὐτῆς ἀποδεικνύει τὸ φῶς. ὅτε γὰρ πνεῖν μέλλουσι ξηροὶ ἄνεμοι, τῆς ξηρότητος τῆς ἐσομένης ἀντιλαμβανόμενος ὁ ἀὴρ πυρρὸς γίνεται καὶ ξανθοῦται. καυστικὸν γὰρ ἀεὶ τὸ ξηρὸν καὶ πυρῶδες. καὶ οὗτος ὁ ἀὴρ τοιοῦτος γενόμενος σφάλλει ἡμῶν τὴν ὄψιν οὕτως ὁρᾶν τῆς σελήνης τὸ φῶς, καὶ ἔστι σημεῖον ἀνέμων ξηρῶν.

MUAS ἄ λ λ ω ς: τριταίαν ἄγουσα ἡμέραν ἀπὸ συνόδου καὶ οὖσα λεπτή (οὕτω γάρ ἐστι τριταία οὖσα) καθαρὸν καὶ διαυγὲς τὸ φῶς ἔχουσα, εὐδίας ἐστὶ σημαντική. λεπτὴ δὲ οὖσα, τουτέστι τριταία, καὶ σφόδρα ἐρευθὴς οὖσα καὶ πυρῶδες τὸ φῶς ἔχουσα, πνευμάτων ἐστὶ δηλωτική.

MA ταῦτα δὲ προειρήκαμεν.

S 784. — λ ε π τ ὴ ⟨δ ὲ⟩ κ α ὶ ο ὐ μ ά λ': λεπτὸν δὲ ἔχουσα τὸ φῶς, τουτέστι τριταία.

---

1 περικείμενος **MU**: παρακ– **ΔΚΑ** | ἡμᾶς **MΔU**: ἡμῖν **KA** | οὗτος **ΔU** *ut vid.* **A**: καὶ οὗτος **M** οὗτος ὁ **K** | ἀὴρ **MKA**: ἄκρον **Δ** ἄκραν **U** **1–2** πρὸς πάντα συμπάθειαν (–παθείαν **Δ**) **MΔ KA**: προσπάθειαν πρὸς πάντα **U** **2** ἀποδεικνύει **MKA**: ἀποδείκνυσι **ΔU** | ὅτε **MΔ**: ὅταν **KA U** *mutil.* **3** μέλλουσι **MΔU**: μέλλωσι **KAC** | τῆς[2] **MΔU**: *om.* **KA** **4** ἀντιλαμβανόμενος **MKUA**: –νομένης **Δ** | πυρρὸς **ΔA**: πυρὸς **MKU** *ut vid.* **5** ξανθοῦται **MΔ U** *ut vid.*: ξανθὸς **KAC** | πυρῶδες **MKUA**: πυρρ– **Δ** **6** τοιοῦτος **MΔKA**: πυρώδης **U** | γενόμενος **MU**: γινόμενος **ΔKA**.

9–14 MUAS (*46r,17–21*) *lemma* ἄλλως **MUA**: λεπτὴ μὲν **S** **9** τριταίαν **MS**: τριταῖαν **UAC** | *post* τριτ– *add.* δὲ **S** | ἄγουσα **UAS**: ἄγουσαν **M** **9–10** καὶ οὖσα **MUA**: *om.* **S** **10** οὕτω ... οὖσα **MUA**: *om.* **S** | τριταία **M**: τριταῖα **UA** | καθαρὸν **M UA**: καθαρὰ **S** **11** τὸ φῶς ἔχουσα **MUA**: ἔχουσα τὸ φῶς **S** | σημαντικὴ **M**pc**AS**: –κὸν **M**ac**UC** **12** λεπτὴ .. τριταία (–ταῖα **UA**) **MUA**: *om.* **S** **13** οὖσα **MUA**: *om.* **S** | πυρῶδες (πυρρ– **UA**) τὸ φῶς ἔχουσα **MUA**: πυρρὸν ἔχουσα τὸ φῶς **S** **13–14** πνευμάτων ἐστὶ δηλωτικὴ (–κὸν **U**) **MUA**: ἀνθρώπων ἐσομένων (*sic* **S**pc: ἑπομένων **S**ac) δηλωτική **S**.

15 MA *cf. supra p. 391, ll. 10–12.*

16–17 S (*46r,21–22*) *in lemmate* δὲ *addidi.*

785. — πνευματίῃ: ὅταν δὲ ἄνεμοι μέλλωσι πνεῖν, πάλιν τῆς ἐσομένης ὑγρότητος ὁ ἀὴρ ἀντιλαμβανόμενος παχυμερής τις ἐκ τῆς ὑγρότητος γίνεται καὶ ζοφώδης, καὶ τοιοῦτον ἡμῖν δείκνυσι [μέλαν καὶ ζοφῶδες] τὸ τῆς σελήνης φῶς. καὶ γὰρ καὶ τὰς μελαίνας τῶν νεφελῶν καὶ ζοφώδεις ὑετοῦ αἰτίας φαμὲν εἶναι, τὰς δὲ καθαρὰς ἀνέμων, τὰ γὰρ πνεύματα ἅπερ σίφωνας καλοῦσιν οἱ ναυτίλοι συστρεφόμενα ἐν τῇ θαλάσσῃ ἀνιμᾶται τὸ ὕδωρ καὶ συνιστάμενα παχέα καὶ ζοφώδη γίνεται, καὶ ἀποτελοῦνται πιλήσεις νεφελώδεις ἐξ ὧν φέρεται ὁ ὑετός. σίφωνας δὲ αὐτοὺς λέγουσιν οἱ ναυτίλοι. πολλάκις γὰρ καὶ αὔτανδρον τὸ σκάφος μετὰ τοῦ ὕδατος ἀνιμῶνται εἰς ὕψος καὶ ἐξασθενοῦντες πάλιν ἀφιᾶσι. κάτωθεν τοίνυν ἐκ τῆς γῆς πολλαὶ ἀναθυμιάσεις γίνονται αἳ τὸν ἀέρα μεταβάλλουσιν. MΔUA

παχίων δέ: παχυνομένου δὲ τοῦ ἀέρος ἀμβλύτερα τὰ κέρατα, ὅπερ σημεῖον ὑετοῦ ἡ σελήνη ποιεῖται καὶ τοῦ νότου ὅτι ἐγγύς ἐστιν. S

παχίων δὲ καὶ ἀμβλείῃσι κεραίαις: παχυμερὴς δὲ καὶ ζοφωδεστέρα φαινομένη καὶ ἔχουσα MΔUAS

1–15 MΔUA *lemma* MΔUA **1** μέλλωσι ΔUA: μέλωσι M **3** τις MΔ[sl]A: *om.* ΔU | ὑγρότητος MΔUA: ζοφότητος Δ[ac] | καὶ *om.* U | δείκνυσι MΔA: δίδωσι U **4–5** μέλαν καὶ ζοφῶδες MA: ζοφῶδες Δ *om.* U *seclusi* **5** καὶ γὰρ Est: εἰ γὰρ MΔUA **6** νεφελῶν MΔ: νεφῶν UAC | καὶ ζοφ– MΔA: *om.* U **7** τὰ γὰρ MUA: τὰς δὲ (*sic*) Δ | ἅπερ MU: ἅπερ καὶ Δ ἃ A **8** ναυτίλοι ΔU: ναυτῖλοι M ναῦται AC **9** ἀνιμᾶται MU: -ῶνται ΔA **10** γίνεται MA: γίνονται U Δ *incert.* (*compendium*) | ἀποτελοῦνται MΔ: –τελεῖται U –τελοῦντα AC | πιλήσεις MΔ: πηλώσεις U πιλώσεις AC **11** ὁ ὑετὸς MΔU: καὶ ὁ ὑετὸς A **13** ἐξασθ– πάλιν MΔ: πάλιν ἐξασθ– UA | ἐξασθενοῦντες Est: –ντας M –ντα ΔUAC **14** ἀφιᾶσι Est: ἀφίησι MΔUA | τοίνυν ἐκ τῆς γῆς MΔ: ἐκ τῆς γῆς τοίνυν UA **15** μεταβάλλουσιν MΔA: μεταλλάττουσιν U.

16–18 S (*46*[r]*,22–24*) **18** ὅτι *scripsi*: καὶ S.

19–p. 394,6 MΔUAS (*46*[r]*,25–29*) *lemma* M: παχίων δὲ ΔU παχίων δὲ καὶ ἀμβλείησι A ἄλλως S **20** δὲ MΔA: *om.* US | ζοφωδεστέρα MΔA: ζοφώδης U ζωφοδεστέρα S | φαινομένη MΔUA: *om.* S

τὰς κεραίας ἀμβλυτέρας καὶ ἀμαυροτέρας ἐν τετάρτῃ ἡμέρᾳ, ὅτε οὐκ ἔδει, εἴγε καὶ σκιὰν πέμπει τεταρταία οὖσα, ὑπὸ νότου ἀμβλύνεται. ὑγρὸς γὰρ καὶ χειμερινὸς οὗτος, καὶ δῆλον ὅτι τῇ ὑγρότητι παχυμερῆ ποιῶν τὸν ἀέρα τοιαύτην ὁρᾶσθαι ποιεῖ τὴν σελήνην ὑετοῦ ἐπιγινομένου.

ΜΔΑ ἄ λ λ ω ς: ὅταν δὲ παχεῖα ⟨ᾖ⟩ καὶ ἀμβλυτέρας τὰς κεραίας ἔχῃ, νότον προσδοκᾶν ἢ ὄμβρον, ὅταν δὲ τρίτην ἄγουσα ἡμέραν μήτε περικεκλασμένας ἔχῃ τὰς κεραίας μήτε ὑπτιάζηται, ζεφύρου σημαντική, εἰ δὲ ἀπὸ τρίτης μέχρι τετάρτης ἡμέρας τὸ αὐτὸ τηρήσει σχῆμα, χειμῶνος ὑπογύου σημαντικὴ τυγχάνει.

ΜΑ ὅθεν κελεύει θεωρεῖν αὐτὰς ἀμφοτέρας τὰς κεραίας ἀπὸ πρώτης αὐξήσεως.

MAS 786. — τ έ τ ρ α τ ο ν ἐ κ τ ρ ι τ ά τ ο ι ο: ἐν τετάρτῃ ἡμέρᾳ οὐκ ἔδει εἶναι τὸ φῶς αὐτῆς ἀ μ ε ν η ν ό ν, ἀλλ' ἔδει καὶ σκιὰν ἀποπέμπειν. ἐκ τούτου δὲ

---

1 ἀμβλ– καὶ ἀμ– MAS: ἀμαυροτέρας Δ ἀμβλυτέρας U | τετάρτῃ ΜΔΑ δ′ S: τέσσαρσιν U **2** ἡμέραι ΜΔΑS: ἡμέραις U | ὅτε οὐκ ἔδει ΜΔUA: *om.* S | εἴγε MAS: εἰ γὰρ ΔU **2–3** τεταρταία οὖσα ΜΔUA: *om.* S **3** ὑπὸ AS: ὑπὸ δὲ ΜΔU | νότου ΜΔΑ: νότον U τοῦ νότου S | *post* ἀμβλύνεται *add.* καὶ ἀμαυροῦται S | ὑγρὸς ΜΔUA: ὑγρὰ S | γὰρ ΜΔΑS: *om.* U | χειμερινὸς ΜΔUA: –νὰ S **4** οὗτος ΜΔUA: *om.* S | δῆλον ὅτι MU: δηλονότι ΔΑ *om.* S | τῆι ὑγρότητι *hic* ΜΔUS: *post* ἀέρα A | παχυμερῆ ΜΔUA: παχυνομένη S **4–6** ποιῶν . . . ἐπιγινομένου ΜΔUA: *om.* S **4** ποιῶν ΜΔΑ: ποιεῖ U **5–6** ἐπιγινομένου A: ἐπιγενομένου M γινομένου Δ γενομένου U.

7–12 ΜΔΑ *lemma* ἄλλως MA: [ἀ]μβλείησι Δ **7** δὲ MA: *om.* Δ | παχεῖα MA: παχείας Δ | ᾖ *add.* Est (*unde Ald.*): *om.* ΜΔΑ **8** προσδοκᾶν MA: δεῖ προσδ– Δ **9** ἄγουσα ἡμέραν MA: ἡμ– ἄγ– Δ | περικεκλασμένας ΜΔ: παρακ– AC | ἔχηι ΜΔ: ἔχει A **10** σημαντική MA: σημεῖον Δ **11** μέχρι τετάρτης *hic* M: *post* ἡμέρας A *om.* Δ | τηρήσει ΜΔ: τηρήσεις A **11–12** χειμῶνος MA: χειμῶνα Δ **12** ὑπογύου A: ὑπογείου M ὑπόγειον Δ | σημαντικὴ (–κὸν C) τυγχάνει M: δηλοῖ Δ σημαντικὸν σημαίνει A.

13–14 MA

15–p. 395,4 MAS (*46ʳ, 29–34*) *lemma* M: τετάρτου ἐκ τριτάτοιο A τέτρατον ἐκ τρίτου S **16–17** εἶναι . . . ἀμενηνὸν MA: ἀμενηνὸν εἶναι τὸ φῶς S **17** δὲ MA: *om.* S

δῆλον ὅτι ὀφείλουσα ἔχειν ἰσχυρὸν τὸ φῶς, ἀ μ ε ν η ν ὸ ν ἔχει. ἄρα οὖν ἐξ αἰτίας τινὸς τοῦτο πέπονθεν· ἢ γὰρ νότῳ ἀμβλύνεται ἢ ἐσομένῳ ὕδατι. καὶ γὰρ ὁ νότος ἐξ ὑγροῦ ἀέρος συνίσταται, διὸ καὶ καρηβαρής.

πάντα δὲ τὰ πυρώδη διὰ μὲν πυκνοῦ τοῦ ἀέρος ὁρώμενα ἐρυθρὰ φαίνεται, διὰ ἀκράτου δὲ καθαρά, καὶ ἡ σελήνη καὶ οἱ ἀστέρες πάντες φλογώδους οὐσίας κεκοινωνήκασι, καὶ αἰθέρος εἰσὶ πιλήματα. διαυγῆ τοίνυν αὐτήν φησιν εἶναι σημεῖον εὐδίας, ἅτε διὰ ξηροῦ τοῦ ἀέρος φαινομένην, ἐρυθρὰν δὲ πνευμάτων διὰ τὴν περὶ τὸν ἀέρα πύκνωσιν, ὃς διαχεόμενος ἀνέμους ποιεῖ. καὶ γὰρ οὐδέν ἐστιν ἄλλο ἄνεμος ἢ ῥύσις ἀέρος. MA

788-791. — ε ἰ δ έ κ' ἀ π' ἀ μ φ ο τ έ ρ ω ν: οἱ ἄνεμοι πάλιν οἱ πνέοντες τοῦτον τὸν περικείμενον ἡμᾶς ἀέρα ἐπίπροσθεν ἑαυτῶν διωθοῦνται. καὶ ἐὰν μὲν ζέφυρος πνεύσῃ ἀπὸ δύσεως ἐπίπροσθεν αὐτοῦ διωθούμενος τὸν ἀέρα, ἔμφασιν ἡμῖν παρέχει τοῦ δοκεῖν τῆς σελήνης τὰ κέρατα ὡς ἐπὶ ἀνατολὰς πρηνῆ φέρεσθαι. MΔKUA

---

1 δῆλον ὅτι M: δηλονότι AS **1–2** ἀμενηνὸν ... πέπονθεν MA: ἐξ αἰτίας τινὸς ἔχει ἀσθενές (*quod magis placet*) S **2** ἄρα MA: ἆρα *Maass* **3–4** καὶ γὰρ ... συνίσταται MA: ἐξ ὑγροῦ δὲ ἀέρος ὁ νότος S.

5–12 MA **5** δὲ M: μὲν A **6** ἀκράτου *Maass*: ὁρατοῦ MA **7** πάντες A: πάνες M **8** εἰσὶ πιλήματα *Thiele apud Maassium* (*cf. Philon. I, 143 Cohn-Wendland*): εἰσὶν ἐπιλήμματα M εἰσὶν ἐπιλείμματα A | διαυγῆ M: διαυγὴς AC **9** αὐτὴν M: καὶ αὐτὴ A αὐτὴ C | φησιν εἶναι *scripsi*: φαινομένην M φαινομένη AC | σημεῖον εὐδίας M: σημαίνει εὐδίαν A **10** φαινομένην *scripsi* (*iam* φαινομένη Est): φερομένην M φερομένη A | ἐρυθρὰν M: ἐρυθρὰ A | πνευμάτων M: κίνησιν πνευμάτων A **12** ῥύσις M: ῥῶσις A.

13–p. 396,5 MΔKUA *lemma* U: εἰ δέ κεν ἀπ' ἀμφοτέρων M εἰ δέ κ' ἐπ' ἀμφοτέρων ΔKA **14** πάλιν MΔKA: πάλαι U τὸν περικείμενον ἡμᾶς (*cf. supra p. 392, l. 1*) MΔKA (ἡμῖν A[ac]): ἡμᾶς τὸν περικ– U **15** διωθοῦνται M: ὠθοῦνται ΔKUA | ἐὰν *Maass*: εἰ MΔKUA **16** πνεύσῃ Est: πνεύσει MΔKUA | δύσεως MΔU: τῆς δ– KAC | ἐπίπροσθεν αὐτοῦ (*sic*) MΔU A: αὐτοῦ (*sic*) ἐπίπρ– K αὐτοῦ *corr. edd.* **17–p. 396,2** τῆς σελήνης ... ὑπτιούμενα MKA: τὴν σελήνην ὡς ὑπτιούμενα φέρουσαν τὰ κέρατα Δ τῆς σελήνης τὰ κέρατα ὡς ὑπτιούμενα U **18** ἀνατολὰς M: ἀνατολῆς KA

ἐὰν δὲ ἀπηλιώτης πνεύσῃ, τότε ἀνάπαλιν ἄνω νενευκότα τὰ κέρατα φαίνονται ὡς ὑπτιούμενα. ἐὰν δὲ βορέας πνεύσῃ, τὸ ἓν κέρας τὸ βόρεοιν ἐπικαμπὲς γίνεται. πάλιν ἐὰν νότος, τὸ πρὸς νότον κέρας καμπτόμενον. εἴπομεν δὲ ὅτι τοῦ ἀέρος ἐστὶ[ν ἡ] συμπάθεια.

MKA ἐὰν δέ, φησί, τρίτην ἡμέραν ἀπὸ συνόδου ἔχουσα ἀμφοτέροις τοῖς κέρασι μήτε νευστάζῃ ὡς ἐπὶ ἀνατολὰς μήτε ὑπτία φαίνηται, ἀλλ' αἱ κεραῖαι αὐτῆς ὀρθαὶ οὖσαι κυκλοτερεῖς φαίνωνται, τότε μὲν οὐκ ἔστιν (ἄνεμος δηλονότι), τῇ δὲ ἐπιούσῃ ἡμέρᾳ πρὸς τὴν ἑσπέραν, μετ' ἐκείνην τὴν νύκτα ἐν ᾗ τοιάδε ἐφάνη ἡ σελήνη, γενήσεται. καὶ πολλοὶ δέ, φησί, πνεύσονται.

MΔKUA 789. — μ ή τ ε τ ι ν ε υ σ τ ά ζ ῃ: ἐάν, φησί, τριταίαν ἄγουσα ἡμέραν μήτε ὑπτιάζῃ μήτε ἐπινεύῃ τοῖς κέρασι, τότε προσδέχου τοὺς ἑσπερίους ἀνέμους, τουτέστι τοὺς ἀπὸ δύσεως, οἷον ζεφύρους καὶ ἀργέστας. ξηρὸς γὰρ ὢν ὁ ἀὴρ εἰς τὰ τοιαῦτα πνεύματα τὴν μεταβολὴν λαμβάνει διὰ τὴν ἑσπερινὴν ψύξιν. ἐὰν μέντοι γε ἐπιμένῃ καὶ τῇ τετάρτῃ ἡμέρᾳ τοιαύτας τὰς κεραίας ἔχουσα, λέγω δὴ ὀρθάς, χειμῶνός ἐστι σημαντική. πλεῖον γὰρ ἡ ξηρασία ἐπιμένουσα, κατὰ τὴν ἐπὶ πλείω

---

1 ἄνω MK: *om.* A **2** φαίνονται M^pc: φαίνεται KAC φέρονται M^ac *ut vid.* | ἐὰν δὲ βορέας MKA: ὡσαύτως δὲ καὶ βορέας ἐὰν ΔU **4** πάλιν ... καμπτόμενον MKA: *om.* ΔU | νότος KA: ὁ νότος M **5** ἐστὶ συμπάθεια *scripsi* (*cf. supra p. 392, ll. 1–2*): ἐστὶν ἡ συνήθεια MΔKUA.

6–12 MKA (*cum praecedenti scholio coniunctum*) **7** ἀνατολὰς M: –λῆς KA **8** ὑπτία KA: ὑπτίω M | αὐτῆς *edd.*: αὐταὶ M: αὐτῇ K αὐτῶν A **9** φαίνωνται M: –νονται KAC **10** *parentheseos signa posui; fortasse verba* ἄνεμος δηλόνοτι *delenda.*

13–p. 397,8 MΔKUA *lemma* (μή τέ) MΔKUA **14** τριταίαν MΔ: –ταῖαν KUA | ἄγουσα ἡμέραν MΔ: ἡμ– ἄγ– KUA | μήτε¹ ΔKUA: μή τι M | ἐπινεύῃ MΔKA^sl: –ει UA **16** τουτέστι MKUA: *om.* Δ | οἷον ... ἀργέστας MΔKA: *om.* U | καὶ MKA: *om.* Δ **17** ὁ ἀὴρ MΔKA: ὅμηρον U *ut vid.* **18** ψύξιν MΔUA: ὄψιν K **19** ἐπιμένῃ MKUA: ἐπιμέν Δ | τοιαύτας *scripsi*: ταύτας MΔKA *om.* U **20** ἔχουσα ... ὀρθάς MΔKA: ὀρθὰς ἔχουσα U | σημαντικὴ MKUA: σημεῖον Δ **21** πλεῖον MΔ: πλείων KUA | ἡ ξηρασία MKU *ut vid.* (*evan.*)

ἐκπύρωσιν ἐν αὐτῇ ἕλκει τὸ ὑγρόν. ἡ δὲ μεταβολὴ τῶν τῆς σελήνης κεράτων κατὰ διαφόρους καιρούς. ἐν μὲν τοῖς βορείοις καταστήμασι λεπτότερος ὁ ἀὴρ ὑπάρχων ἀκριβῆ τὴν θέαν παρέχει ἡμῖν τότε, διὸ καὶ ἐπινεύειν τὸ τηνικαῦτα δοκεῖ τὰ κέρατα αὐτῆς. ὅταν δὲ ᾖ νότιος καὶ ἰκμάδος πλήρης ὁ ἀήρ, τότε φαίνονται ἀνανεύουσαι αἱ κεραῖαι, ἐπειδὴ καὶ πάντα τὰ κάθυγρα πλατύτερα φαίνονται.

792. — εἰ δ᾽ αὔτως ὀρθή: τὴν δὲ ὁμοίαν φαντασίαν καὶ τεταρταία οὖσα εἰ παρέχοιτο, ἀρχὴν χειμῶνος ἀθροιζομένου μαντεύεται, ἐμοὶ δοκεῖν πυκνουμένου τοῦ ἀέρος διὰ τὴν τῶν ἀπὸ τῆς ἑσπέρας πνευμάτων ῥύσιν. αἴτιον δὲ τῆς πυκνώσεως τὸ διὰ πολλοῦ διαστήματος ἀπὸ τοῦ ἑσπερίου ὠκεανοῦ φερόμενον τὸ πνεῦμα ἀδυνατεῖν τὴν παχύτητα τοῦ ἀέρος ὠθεῖν, ὅθεν ἱσταμένου καὶ ἀντισχομένου ἀπαντᾷ ἡ πύκνωσις. MΔKUAS

ἀπορία· διὰ τί δὲ ἐν μὲν τῇ τρίτῃ ἡμέρᾳ ἄνεμος, ἐν

A: ἡ ξηρανσία Δ | ἐπὶ πλείω ΔKA: ἐπιπλείω M U *mutil.* ἐπιπλέον Est *Ald. edd.*

1 αὐτῇ *Maass*: αὐτῆι MKA ἑαυτῇ ΔU *mutil.* **3** λεπτότερος MΔUA: λεπτὸς K **4** παρέχει (–χοι M[ac] *ut vid.*) ἡμῖν M: ἡμῖν παρέχει ΔKUA | τότε MKA: *om.* ΔU *fortasse recte* **4–6** διὸ . . . φαίνονται *om.* U **5** νότιος MΔ: *om.* KA **6** ἰκμάδος Δ: ἱκμάδος M ἰκμάδος τινὸς KA | πλήρης MKA: πλήρεις Δ | φαίνονται MΔK: –νεται A **7–8** ἐπειδὴ . . . . φαίνονται MΔA: *om.* K **7** ἐπειδὴ καὶ M: ἐπεὶ τὰ Δ ἐπεὶ καὶ AC | τὰ MA: ὅσα Δ.

9–p. 398,3 MΔKUAS (*46ʳ, 34–45*) *lemma* MKU (αὔτως) AS: [ε]ι δ᾽ αὔτως Δ **9** τὴν δὲ MΔS: εἰ δὲ τὴν KUA **10** φαντασίαν MΔKAS: φάσιν U | τεταρταία MΔKS: –ταῖα UA | εἰ MΔS: *om.* KUA **11** μαντεύεται MUS: μαντευομένη ἐστὶν Δ μαντεύοιτο KA C | δοκεῖν MΔUS: δοκεῖ KAC **11–12** πυκνουμένου ΔKUAS: πυκνωμένου M **13** ῥύσιν MΔKAS: ῥεῦσιν U | τῆς πυκν– MΔK UA: τῆς *om.* S **13–14** πολλοῦ διαστήματος MΔK: πολλοῦ τοῦ διαστ– UA πολλὰ διαστήματα S **14** τοῦ MΔKUA: *om.* S | ἑσπερίου MΔUS: *om.* KAC **15** τὸ MS: *om.* ΔKUA | ἀδυνατεῖν MΔKUA: εὐδυν– S **16** ἀντισχομένου KA: ἀνισχ– MΔUS *fortasse recte* **17** ἀπορία *in mg.* MA: *in mg. et in textu supra lineam ante verba* ἐν μὲν τῇ τρίτῃ *infra p. 398, l. 1* K: *om.* ΔUS | διὰ τί δὲ MKUA: διότι S *om.* Δ | μὲν γὰρ Δ **17–p. 398,1** ἐν δὲ . . . τῇ τρίτῃ *om.* Δ

δὲ τῇ τετάρτῃ χειμών; ἐν μὲν τῇ τρίτῃ ὅτι τὸ συνιστάμενον μήπω πεπιεσμένον εὐκίνητόν ἐστιν, ἐν δὲ τῇ τετάρτῃ ἀδιάλυτον γινόμενον πύκνωσιν δηλοῖ.

ΜΔUAS 794. — εἰ δέ κέ οἱ κεράων: κέρας φησὶν ὑψηλὸν τὸ βορειότερον. ὁ δὲ λόγος· „τὸ ὑψηλότερον αὐτῆς τῶν κεράτων ἐὰν συννεύῃ ὡς ἐπὶ τὸ ἔμπροσθεν ὀξυνόμενον, προσδόκα τὸν βορέαν πνευσόμενον, ὅτε δὲ ὕπτιόν ἐστι τὸ προειρημένον κέρας, τὸν νότον". ἀντιπνεῖ γὰρ ὁ νότος τῷ βορρᾷ, καὶ ὃ μὲν ὕπτιον ποιεῖ τὸ κέρας, ὁ δὲ βορρᾶς πρηνές.

MUA ἄλλως: τὸ μετέωρον δὲ κέρας τῆς σελήνης, τουτέστι τὸ βόρειον, ἐὰν μὲν ἐπινεύῃ, προσδέχου τὸ πνεῦσαι βορρᾶν, ἐὰν δὲ ὕπτιον, νότον. μετέωρον δὲ κέρας τὸ βόρειον κέκληκεν, ὡς πρὸς τὴν ἡμετέραν φαντασίαν.

ΜΔKUAS 796. — αὐτὰρ ἐπὴν τριτόωσαν: [ἑτοίμης οὔσης διχοτόμου τῆς σελήνης, τὸ πρὸς εὐδίαν καθαρόν

---

1 *in mg.* λύσις A | καὶ ἐν S **1–2** τὸ συνιστάμενον MKUAS: συνιστάμενον τὸ πνεῦμα Δ **2** μήπω MUAS: καὶ μήπω Δ οὔπω K **3** ἀδιάλυτον ΜΔKUA: διάλυτον S | γινόμενον ΜΔU: γενόμενον KAC νήμενον S *ut vid.*

4–10 ΜΔUAS (*46*ʳ*,45–51*) *lemma* M (κεν) ΔUA: εἰ δέ κέ οἱ S **5** βορειότερον MS: βόρειον ΔUA **6** αὐτῆς ΜΔUA: αὐτοῦ S | τῶν κεράτων MAS: κέρας ΔU | ἐὰν ΜΔAS: U *incert.* (ἂν ?) | συννεύῃ S: συνεύηι MA συμβῇ Δ ἐννεύῃ U *ut vid.* | ὡς MAS: *om.* ΔU **7** ὀξυνόμενον MUAS: ὀξύνεσθαι Δ | βορέαν MAS: βορρᾶν ΔU *ut vid.* | πνευσόμενον MAS: *om.* ΔU | ὅτε ΔUAS: ὅτι M **8** ὕπτιόν ἐστι (–τιν S) τὸ προειρημένον (προκείμενον AC) ΜΔAS: τὸ προειρημένον ὕπτιόν ἐστι U | κέρας MAS: *om.* ΔU | *post* κέρας *add.* προσδόκα πνέοντα S **9** βορρᾶι ΜΔAS: βορᾶ U **10** βορρᾶς MA: βορᾶς Δ βορέας S U *evan.*

11–14 MUA **11** ἄλλως MUA | δὲ MAC: ἐστι U | τῆς σελήνης MA: *om.* UC **12** τὸ βόρειον MAC: τὸ τῆς σελήνης τὸ βόρειον U | *post* βόρειον *scripsit* κέκληκεν M, *postea del.* | τὸ AC: τοῦ M U *mutil.* **13** νότον MAC: τὸν νότον U | κέρας MAC: *om.* U | τὸ MAC: τὸν U.

15–p. 399,9 ΜΔKUAS (*46*ʳ*,51–46*ᵛ*,3*) *lemma* MKU (–ωσα) A: αὐτὰρ ἐπὴν ΔS **15–p. 399,3** *seclusi, haec enim ad vv. 802–804 pertinent* **16** τῆς σελήνης *fortasse delendum* | πρὸς ΜΔKA: κατὰ S U *mutil.*

(περιλαμπές) ἐστι, τὸ δὲ ἐρευθόμενον ἀνεμῶδες, τὸ δὲ διασπάσματα ἔχον καὶ μελανίας λαμβάνον ἐπομβρίας δηλοῖ.]

ἐπὰν δὲ τριταίαν οὖσαν ἀπὸ συνόδου ὅλην τὴν μηνοειδῆ κύκλος περιλάβῃ πανταχόθεν φοινισσόμενος, σφόδρα ἂν τότε χειμερινὸς εἴη καιρός. καὶ ἐν τοῖς πρώτοις (784-785) εἶπε· λεπτὴ δὲ καὶ οὐ μάλ᾽ ἐρευθὴς πνευματίῃ. ἐκ δὲ τῶν πνευμάτων τεκμαίρεται τοῦ καὶ χειμῶνα γενέσθαι.

περὶ κύκλος ἑλίσσει: ἐάν, φησίν, αὐτὴν MA
τριταίαν οὖσαν κύκλος περίσχῃ ἐρευθόμενος πανταχόθεν, χειμῶνα γενησόμενον ἴσθι. σαφὴς δὲ ἡ τούτου αἰτία. ἐγκαταδυόμεναι γὰρ αἱ ἀκτῖνες τῆς σελήνης ὑγροῖς τοῖς νέφεσι, κωλύονται μὲν ἐξικνεῖσθαι μέχρις ἡμῶν διὰ τὴν παχύτητα τῶν νεφῶν, αὐτὸν δὲ τὸν κύκλον τὰ νέφη διαυγοῦσι καὶ ἀνθύνουσιν.

ἄλλως: ὅταν ἴδῃς, φησί, περὶ τρίτην ἡμέραν MΔUAS

---

1 προτέρους ΔMa^{2}VA: πρότερα Est | τοὺς ἀντιδύνοντας Δ Ma^{2}VA: τὰ ἀντιδύνοντα Est | ὑστέρους MΔVA: δευτέρους Ma^2 ὕστερα Est **1–2** τοὺς συνανατέλλοντας *codd.*: τὰ συνανατέλλοντα Est **2–3** πλεονάζει *codd.*: πλέκει Est | ἤπερ *codd.*: εἴπερ M **3** καὶ *om.* Est **3–4** διὸς σημείων MΔ: δύο σημείων Ma^{2}A σημείων δύο V διοσημείων Est **4** πρῶτον *codd.*: πρῶτα Ma^2 | αὐτῶν MMa^{2}VA: αὐτοῦ Δ αὐτοῖς Est **5** λέγει σημεῖα χειμῶνος *codd.*: σημ– λέγει χειμ– Est **6** πρῶτον *codd.*: πρῶτα Ma^2 | δεύτερον *codd.*: δεύτερα Ma^2 **7** ὁ ἥλιος V | τρίτον MΔMa^{2}V: καὶ τρίτον A τρίτον δὲ Est **8** δὲ M: *om.* Δ Ma^{2}VAEst | ἀπαγγέλλει (–έλει Δ) *codd.*: ἀπαγγέλλεται Ma^2 | σύμμικτα *codd.*: σύμμιξιν Δ | τε M: *om.* ΔMa^{2}VAEst | εὐδίας *codd.*: εὐδιῶν M **9** θρεμμάτων ἀρότων M: καὶ θρεμμάτων καὶ ἀρότρων ΔMa^{2}V καὶ θρεμμάτων καὶ ἀρότων A *Ald.* καὶ ἀρρωστημάτων Est καὶ θερισμῶν καὶ ἀρότων *Maass* | δηλοῖ MEst: ἢ δηλοῖ A^{sl} δὴ Δ δηῶ VA δηλοῖ τὰ *om.* Ma^2 **10** τὰ *om.* M **11** σεμνότερα *codd.*: –τερον Est **12** φαυλότερα *codd.*: –τερον Est | τὰ φαυλότερα σεμνότητι *Ald.*: τὰ φαυλότερα διχῶς σεμνότητι Est τὴν φαυλοτέραν σεμνότητα MΔ τὴν φαυλότητα σεμνότητι Ma^2 τὴν φαυλοτέραν σεμνότητι VA | διχῶς *hic codd.*: *ante* σεμνότητι Est **14** αὐτῶν *codd.*: αὐτοῦ VA **14** ἀναγκαίαν εἶναι λέγων (λέγει ΔMa^2): εἶναι λέγων ἀναγκαίαν Est | *post* λέγων *signum* :– *usurpat* M, *quasi hoc argumentum ad finem pervenerit et alius incipiat textus* **15** ὠνομάσθαι A^{ac} *ut vid.*

ὅτι τὰ ἐν τῷ ἀνταρκτικῷ οὐ λέγει, τὰ ἀφανῆ τοῦ οὐρανοῦ (οὐ γὰρ ἴσμεν), ἀλλὰ μόνα λέγει τὰ ἐν τοῖς φανεροῖς, τὰ μεταξὺ τοῦ τε ἀρκτικοῦ καὶ τοῦ βορείου πόλου· δεύτερον δὲ ὅτι περὶ μεγεθῶν καὶ διαστημάτων οὐ διαλέγεται· τρίτον ὅτι περὶ τῶν ὑποθεόντων πλανωμένων καὶ τῶν ἀκριβῶν κύκλων οὐ περιεργάζεται, καθάπερ ἄλλοι πράγματα ἀσαφῆ καὶ στοχαστικὰ καὶ ἄδηλα κατὰ τὸ πλεῖστον λέγοντες, ἀλλὰ παραιτεῖται οὕτωσι λέγων· ,,οὐκέτι θαρσαλέως κείνων ἐγώ" (460). ἐν τούτοις γὰρ τὰ μὲν τῶν πλανωμένων φησὶ μὴ θαρρεῖν λέγειν, τὰ δὲ τῶν ἀπλανῶν εὔχεται ἱκανὸς γενέσθαι εἰπεῖν. πρὸς τούτοις δὲ ὅτι καὶ τῶν ἄλλων καὶ τῶν ἐν τέλει **καταλεχθέντων** σημείων τὰ μὲν φαινόμενα λέγει, τὰς δὲ αἰτίας ἑκάστων ἀφανεῖς οὔσας παρίησι, καὶ στοχασμοὺς ἀδήλους περὶ αὐτῶν οὐ διεξέρχεται καθάπερ οἱ φιλόσοφοι.

---

2) τί ἐστιν οὐρανός; ὁ περιέχων τὰ πάντα πλὴν αὐτοῦ. σφαιροειδὴς οὖν ἐστιν ὁ οὐρανὸς καὶ οὕτω περὶ τὴν γῆν διάκειται ἔχων αὐτὴν ἐν ἑαυτῷ. καὶ τὸ μὲν ἐν ἡμι- **M Matr. 4629 VA Estensis**

---

1 ὅτι *codd.* : *om.* Δ | ἀνταρκτικῷ Ma²: ἀρκτικῷ *codd.* | λέγει MMa²A Est : λέγεται ΔV **2** μόνα *codd.*: μόνον Est *om.* Ma² *spatio relicto* | *an* λέγει *delendum?* **3** ἀρκτικοῦ *codd.*: ἀνταρκτικοῦ Ma² | τοῦ *ante* βορείου *om.* V **5** τρίτον MΔMa²V: τρίτην δὲ A τρίτον δὲ Est **5–6** πλανωμένων *codd.*: πλανώμενα Δ **6** ἀκριβῶν *codd.*: ἀκριβῶς Est **7** οἱ ἄλλοι Ma² **8** τὸ *om.* VA **9** οὐκέτι *codd.*: οὐκέτι γὰρ Δ | κείνων *codd.*: ἐκείνων Ma² **10–11** μὴ θαρρεῖν λέγειν *codd.*: λέγειν μὴ θαρρεῖν Est **11** γενέσθαι *codd.*: εἶναι γενέσθαι Est **12** τὰ *ante* τῶν ἄλλων *add.* Est | τῶν ἄλλων καὶ *om.* VA **13** μὲν *om.* Est **14** δ' V | ἀφανεῖς MΔMa²Est : ἀπλανεῖς VA **15** ἀδήλους *codd.* : καὶ δόλους Ma² | περὶ αὐτῶν MA : *om.* ΔMa²VEst *fortasse recte* **16** φιόσοφοι A

17–p. 541,2 MMa²VAEst **17** τί ἐστιν οὐρανὸς MMa²VA: οὐρανὸς δέ ἐστιν Est | αὐτοῦ *edd.*: αὑτοῦ *codd.* **18** οὖν MMa²: γὰρ VAEst | ὁ οὐρανὸς MVA: *om.* Ma² (*spatio vacuo relicto*) Est | περὶ Ma²VAEst: *om.* M **19** αὐτὴν Ma²VAEst: *om.* M

σφαίριόν ἐστιν . . . . . ὑπὸ γῆν. διὰ πάσης δὲ ὥρας στρέφεται καὶ κινεῖται.

τοσοῦτον δὲ τὸ ὑπὲρ γῆν μέρος τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς ὅσον καὶ ἡ γῆ πρὸς τὸ ἕτερον μέρος αὐτῆς ἤγουν τέλος, τὸν καλούμενον Τάρταρον. εἶτα ἐκ τοῦ μέρους ἐκείνου, τοῦ Ταρτάρου, τὸ ὑπὸ τὴν γῆν ἄλλο μέρος τοῦ οὐρανοῦ πάλιν ὁμοίως διέστηκεν. ὁ γοῦν Ἡσίοδος φυσικευόμενός φησιν (Theog. 722-725)·

ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ κ' ἐς γαῖαν ἵκοιτο.

εἶτα πρὸς τὸ ἴσον βάθος τῆς γῆς·

ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐς γαῖαν κατιὼν δεκάτῃ κ' ἐς Τάρταρον ἵκοι.

λοιπὸν δὲ καὶ τὸ ἀπὸ τοῦ Ταρτάρου ἕως τοῦ ὑπὸ γῆν ἡμισφαιρίου διατεῖνον μέγεθος ἄλλο τοσοῦτόν ἐστιν ὅσον τὸ τῆς γῆς βάθος. ὥστε διὰ τριάκοντα ἡμερῶν τὰς δύο ἀρχὰς τοῦ ἄξονος δύνασθαι διανύσαι τὸν ἄκμονα.

---

1 *lacunam hic statui, post* ὑπὸ γῆν *Maass*, ὑπὲρ γῆν, τὸ δὲ ἕτερον *supplet* Est (*unde Ald.*) **1–2** διὰ . . . κινεῖται *om.* Est **3–p. 541,2** *cf. supra Par. suppl. gr. 607a p.28 n° 19* **3–4** τοῦ οὐρανοῦ ἀπέχει τῆς γῆς (τὴν γῆν M) MVAEst: ἀπέχει τοῦ οὐρανοῦ καὶ τῆς γῆς Ma^{2} **4** τὸ *om.* Ma^{2} | μέρος *et* ἤγουν *fortasse delenda, cf.* Par | αὐτῆς MVA: αὐτοῦ Ma^{2} *om.* Est **5** τέλος MA: *om.* Ma^{2} VEst | καλούμενον MA: *om.* Ma^{2}VEst **6** ἐκείνου MVAEst: *om.* Ma^{2} *spatio vacuo relicto* | τὸ Par: τοῦ MMa^{2} Est *om.* VA **7** οίως διέστηκεν *om.* V *spatio vacuo relicto* | γοῦν M: γὰρ Ma^{2}VAEst **8** φυσικευόμενος MVAEst: *om.* Ma^{2} **9** *post* γὰρ *add.* φησι V **10–13** γαῖαν . . . ἐς *om.* Ma^{2} **10** κ' *Hesiodi Pap. 19*: δ' *codd.* Par **11** τὸ ἴσον βάθος *om.* V *spatio relicto* **13** ἐς γαῖαν MEst: εἰς γαῖαν A καὶ γ– V | δεκάτῃ κ' *Hesiodi Pap. 19*: δεκάτη Est δεκάτη δ' MMa^{2}VA | ἵκοι Par: ἵκοιτο *codd.* **14** δὲ MPar: τοίνυν Ma^{2}VAEst | τοῦ ταρτάρου MVA: τοῦ *om.* Ma^{2}Est ταρτάρου *prius omissum in mg. add.* Est | ἕως τοῦ ὑπὸ γῆν *om.* V **15** ἄλλο MPar: *om.* Ma^{2}VAEst **17** ἄξωνος Ma^{2ac} Est | διανύσαι *om.* V *spatio vacuo relicto* **17–18** ἄκμωνα Ma^{2}

στρέφεται δὲ καὶ καταφέρεται ἐπὶ δυσμὰς ὁ οὐρανὸς ἀπὸ ἀνατολῶν.

M Matr. 4629
VA Estensis S

3) κύκλοι πέντε, ἀρκτικὸς ὁ καὶ βόρειος καὶ ἀειφανής, θερινὸς τροπικὸς ὅτε ὁ ἥλιος Καρκίνῳ, ἰσημερινὸς ὅτε ὁ ἥλιος Κριῷ, χειμερινὸς τροπικὸς ὅτε ὁ ἥλιος Αἰγοκέρωτι, ἀνταρκτικὸς ὁ καὶ νότιος, ἔνθα ἡ κεκαλυμμένη ζώνη.

κύκλοι λοξοὶ ὅ τε ζῳδιακὸς καὶ ὁ γαλαξίας.

τὰ πέρατα τοῦ ἄξονος ἑκατέρωθεν πόλοι καλοῦνται.

ὁρίζων ὁ τέμνων τό τε ὑπὲρ γῆς ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν.

M Matr. 4629
VA Estensis

4ª) πῶς δεῖ ἱστᾶν τὴν σφαῖραν.

ὁ βουλόμενος ὁμοίως τῷ κόσμῳ θεῖναι τὴν σφαῖ-

1–2 *om.* Ma² **1** καταφέρεται MEst: φέρεται VA | οὐρανὸς VAEst: ἥλιος M.

3–11 MMa²VAEstS (*53ʳ,36–40*) *cf. Par. supra pp. 29 et 31* **3** κύκλοι πέντε MMa²AS: *om.* V *spatio vacuo relicto* κύκλοι παράλληλοι πέντε Est *fortasse recte* | ἀρκτικὸς *codd.*: ἀρκτῶος Est **4** θερινὸς *codd.*: θέρειος S | τροπικὸς MV *ut vid.* (*mutil.*) AS: δὲ Est *om.* Ma² **6** αἰγοκέρωτι S: αἰγόκερω Ma² αἰγοκέρω VAEst ἐν αἰγοκέρωτι M | ὁ καὶ MMa² VAEst: *om.* S | ἔνθα MMa²VAEst: ὅτε S **6–7** κεκαλυμμένη *scripsi*: κεκαυμένη MS καλουμένη διακεκαυμένη (δια *postea del.*) Ma² καλουμένη VAEst **7** ζώνη *om.* Ma² **8** κύκλοι λοξοὶ *om.* V *spatio vacuo relicto* | ὅ τε MS: ὁ Ma²VAEst| ὁ *ante* γαλ- *om.* Ma² **9** πέρατα *codd.*: πέρα Ma² | ἄξωνος Est | ἑκατέρωθεν Ma²VAEstS: ἑκάτερθε M | πόλοι καλοῦνται Par Ma² VAEst: καλ- πόλοι M | πόλοι *om.* S **10** ὁρίζων *codd.*: ὁρίζοντες S | ὑπὲρ γῆς MVAS: ὑπὲρ γῆν Ma²Est **10–11** ἡμισφαίριον καὶ τὸ ὑπὸ γῆν (γῆς VA) MVAEstS: τὸ ὑπὸ γῆν ἡμισφαίριον (καὶ *om.*) Ma² | *sequitur in* S *hic titulus*: Ἐμπεδοκλέους σφαῖρα διὰ στίχων (*vide Hist. Text. pp. 223 et 233*).

12–p. 542 19 MMa²VAEst *titulus* MEst (τὴν *om.*): περὶ τοῦ πῶς κ. τ. λ. A *om.* Ma²V (*uterque spatio vacuo relicto*) **13** ὁμοίως *om.* Est

ραν τὸν πόλον τῆς σφαίρας πρὸς βορέαν τρεπέτω.

ὁ βουλόμενος ποιεῖν τὴν φορὰν τοῦ οὐρανοῦ ὑπὸ τῇ δεξιᾷ τὸν πόλον ἔχων στρεφέτω ἀφ' ἑαυτοῦ εἰς τουναντίον τὴν σφαῖραν.

ὁ θέλων ποιεῖν ἀναπόλησιν στρεφέτω αὐτὴν εἰς τοὐναντίον.

οἱ εὐθεῖς προγράφουσι τοῦ ποιήματος τὰ φαινόμενα, οἱ δὲ ἀκριβεῖς τὴν διάθεσιν τοῦ λόγου ὑπὸ τὴν θέσιν καὶ κίνησιν τῆς σφαίρας. ἡ μὲν γὰρ διάθεσις διασαφεῖ τὸ ποίημα, τὸ δὲ ποίημα δηλοῖ τὰ φαινόμενα, ἀλλὰ καὶ ἡ κίνησις καὶ ἡ θέσις τῆς σφαίρας τὰς ἀρχὰς καὶ ἀναφορὰς ὅλων τῶν φαινομένων περιέχουσι καὶ πᾶσαν ἑξῆς τὴν θεωρίαν σαφῆ καὶ ἑτοίμην παρέχουσι πάντως ξυνεπομένην.

Ὅμηρον μὲν ἓν εἶδος γραφέων βλάπτει, τῶν βιβλιογράφων, Ἄρατον δὲ δύο, βιβλιογράφων τε καὶ ζωγράφων, ὧν τὰ ἁμαρτήματα τῶν Ἀράτου θεωρημάτων ἐγκλήματα ποιοῦσιν οἱ κουφότεροι, διὰ τὴν ἄγνοιαν τοῦ παντὸς λόγου καὶ τῆς ἀληθείας.

---

1 πρὸς βορέαν MVAEst: τὸν (πρὸς *om.*) βορείαν Ma² **2** ποιεῖν τὴν φ– MMa²VA: τὴν φ– ποιεῖν Est **2–3** τῆι δεξιᾶι MAEst: τῇ δεξιᾷ δὲ V τὰ δεξιὰ Ma² **3** τὸν πόλον ἔχων *om.* V **5–6** ὁ θέλων . . . τοὐναντίον *om.* Est **5** ἀναπόλησιν MMa²: ἀνάπαλιν VA | αὐτὴν *codd.*: ἑαυτὴν Ma² **6** αὐτὴν *post* τοὐναντίον VA | *post* τοὐναντίον *add.* τὴν σφαῖραν Ma², *postea del.* **7** οἱ εὐθεῖς *codd.*: οἱ μὲν εὐθὺς Est *an scribendum* εὐηθεῖς *?* | τοῦ ποιήματος MVAEst: τὰ ποιήματα Ma² | τὰ *om.* A **8–9** τοῦ λόγου ὑπὸ τὴν θέσιν *om.* VEst | ὑπὸ τὴν θέσιν MA: καὶ τὴν ὑπόθεσιν Ma² **9** διάθεσις *om.* Ma² **10** διασαφεῖ Ma²AEst: διασαφῆ M διασαφοῖ V **11–12** ἀρχ– καὶ ἀν– *codd.*: ἀν– καὶ ἀρχ– V **12** ὅλων *codd.*: ὅλας Est | περιέχουσι *om.* Ma² *spatio vacuo relicto* **14** πάντως *codd.*: πάντῃ Est | ξυνεπομένην M: συνεπ– VA καὶ ἑπομένην Ma² καὶ συνεπ– Est **15** *initium novi excerpti indicat* Est *solus* | ἓν εἶδος *codd.*: εἶδος ἓν Ma² **16–17** Ἄρατον . . . ζωγράφων *om.* Ma² (*octo fere litterarum spatio vacuo relicto*) **17** ὧν τὰ Ma²VAEst: *om.* M | τῶν *codd.*: τῶν τοῦ Ma² **19** λόγου *secl. Maass.*

4^{b}) σφαῖρά ἐστι σχῆμα στερεὸν ὑπὸ μιᾶς ἐπιφανείας περιεχόμενον, πρὸς ἣν ἀφ' ἑνὸς σημείου τῶν ἐντὸς τῆς σφαίρας κειμένων πᾶσαι αἱ προσπίπτουσαι εὐθεῖαι πρὸς τὴν αὐτῆς περιφέρειαν ἀλλήλαις εἰσὶν ἴσαι. τὸ δὲ σημεῖον τοῦτο κέντρον καλεῖται, ὅ ἐστιν ἡ γῆ. M Matr. 4629 VA Estensis S

5^{a}) Ἱππάρχου Σπόρος.

διαιρεῖ δὲ τὴν σφαῖραν εἴς τε βόρεια καὶ νότια, καὶ τῶν βορείων βορειότερα, ἐξ ὧν καὶ τὴν ἀρχὴν ποιεῖται, ἢ καθ' ὃ ὑψηλὰ ὄντα φανερά ἐστιν, ἢ διὰ τὴν καθ' ἡμᾶς οἰκουμένην. ἢ πρὸς τιμὴν τοῦ Διὸς ἐκεῖθεν ἤρξατο. ὁ γὰρ ἀρκτικὸς κύκλος περιέχει τὰς Ἄρκτους M Matr. 4629 VA Estensis

---

1–5 MMa^{2}VAEstS (*53^r,34–36*) *cf. Par. supra p. 23 n^0 1* | *titulum non praebent* MEstS: ἡ σφαῖρα Ma^2 *in mg.* περὶ σφαίρας A (*et* σφαίρα *in mg.*) *spatium vacuum in* V **1** ὑπὸ MMa^{2}EstS: ὑπὲρ VA **1–2** ἐπιφ– περιεχ– MMa^{2}VAEst: περιεχ– ἐπιφ– S **2–3** σημείου . . . κειμένων Par Ma^{2}VAEst: τοῦ ἐντὸς τῆς σφαίρας σημείου MS **3–4** πᾶσαι . . . εἰσὶν ἴσαι (ἴσαι εἰσὶ Ma^2) Ma^{2}VAEst (*cf.* Par): ἑκάστη εὐθεῖα. πᾶσαι ἀλλήλαις ἴσαι M ἐκβαλλόμεναι εὐθεῖαι, πᾶσαι ἀλλήλαις ἴσαι S.
6–p. 544,8 MMa^{2}VAEst *titulus* (*vide Hist. Text. p. 205*) MA: διαίρεσις τῆς σφαίρας Est *in mg. om.* Ma^{2}V **7** διαιρεῖ *codd.*: διαιρεῖται Est | δὲ MV: *om.* Ma^{2}AEst | *post* τὴν σφαῖραν *add.* ἵππαρχος Ma^2 | βόρεια καὶ νότια MV: νότ– καὶ β– Ma^{2}A τὰ ν– καὶ β– Est **8sqq.** *cf. Par. supra p. 30 n^0 22 et Vat. 1087, sch. 46 supra p. 93* **9** ὑψηλὰ ὄντα MVA Est: τὰ ὑψηλὰ Ma^2 | ἐστιν M: εἰσὶν Ma^{2}VAEst | τὴν Ma^2 VAEst: τὸ τὴν M **11–p. 544,10** *cf. sch. Od. Q ad* ε *272*: ὁ ἀρκτικὸς κύκλος περιέχει τὰς' Ἄρκτους καὶ τὸν Δράκοντα, περὶ ὧν φέρεται ἡ ἱστορία ἥδε. τὸν Δία ἐν Κρήτῃ τεχθέντα δύο νύμφαι ἐκεῖσε ἀνέτρεφον, καὶ ἡ μὲν Ἑλίκη ὠνομάζετο ἡ δὲ Κυνόσουρα. Κρόνου δέ ποτε ἐπελθόντος ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα παραλογισάμενος τὰς νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μετεβλήθη. εἶτα τῆς βασιλείας ἀντιλαβόμενος τῇ ἄρκτῳ ἀνεστήριξε φημὶ τὰς νύμφας καὶ ἑαυτόν. ἄξων δὲ λέγεται ἐπεὶ περὶ αὐτὸν ἄγεται ὁ οὐρανός (*ed. Dindorf p. 270*); *haec ab Arateis scholiis pendere patet* **11** γὰρ MEst: δὲ Ma^{2}VA

καὶ τὸν Δράκοντα, περὶ ὧν φέρεται ἱστορία ἥδε· τὸν Δία ἐν Κρήτῃ τεχθέντα δύο νύμφαι ἐκεῖσε ἀνέτρεφον. καὶ ἡ μὲν Ἑλίκη ὠνομάζετο, ἡ δὲ Κυνόσουρα. Κρόνου δὲ ἐπελθόντος ποτὲ ὁ Ζεὺς τὸν ἑαυτοῦ πατέρα παραλογισάμενος τὰς μὲν νύμφας μετέβαλεν εἰς ἄρκτους, αὐτὸς δὲ εἰς δράκοντα μετεβλήθη. εἶτα τῆς βασιλείας ἀντιλαβόμενος τὸ σχῆμα ἀνεστήριξε, φημὶ δὴ τὰς νύμφας καὶ ἑαυτόν.

M Matr. 4629
VA Estensis

5^{b}) ἄξων δὲ λέγεται ἐπεὶ περὶ αὐτὸν ἄγεται ὁ οὐρανός. πόλοι δέ, ἐπεὶ περὶ αὐτοὺς πολεῖται καὶ στρέφεται ὁ οὐρανός. φασὶ δὲ τὸν ἄξονα τοῦτον εἶναι τὸν παρὰ τῷ ποιητῇ Ἄτλαντα εἰρημένον.

---

1 ἡ ἱστ– VA (ἱστορία *in mg. add.* A) | ἥδε Ma^{2}VA : ἧδε M τοιάδε Est **2** ἐκεῖσε *codd.*: ἐκεῖ Est **6** αὐτὸς *codd.*: αὐτὸν Ma^{2} | μετεβλήθη M: μεταβέβληται Ma^{2}VA μετεβέβλητο Est | εἶτα *codd.*: οὗ τὰ Ma^{2} **7** ἀνεστήριξε *codd.*: κατηστέρισε *Maass* | τὰς MEst: τάς τε Ma^{2}VA.

9–12 MMa^{2}VAEst **9** ἕξων Ma^{2} | δὲ M: *om.* Ma^{2}VAEst | περὶ MVAEst: ἐπ' Ma^{2} **9–10** ἄγεται ὁ οὐρανὸς *scripsi* : λέγεται ὁ οὐρανὸς M ὁ οὐρανὸς ἄγεται Est ὁ οὐρανὸς πολεῖται καὶ στρέφεται (ἀναστρέφεται Ma^{2}) Ma^{2}VA **10–11** πόλοι δὲ ... οὐρανὸς MEst (ὁ οὐρανὸς *ante* πολεῖται): *om.* Ma^{2}VA **11** φασὶ δὲ τὸν ἄξονα τοῦτον M: τοῦτον (δὲ *add.* Est) τὸν ἄξονα (*ex* ἄξωνα Ma^{2}) φασὶν Ma^{2}VAEst | τὸν^{2} *om.* VA **12** ἄτλαντα εἰρημένον M: ἄτλαντα καλούμενον VAEst καλούμενον ἄτλαντα Ma^{2}.

APPENDICES

I

EXCERPTUM DE PLEIADIBUS TZETZIANUM

1

φασὶν οἱ μῦθοι περὶ τῶν Πλειάδων ὅτι ἀπὸ τοῦ A Ἄτλαντος ἐγεννήθησαν καὶ Πλειόνης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. ὁ δὲ Ἄτλας, μεθ' οὗ καὶ ὁ Προμηθεὺς καὶ ὁ Ἐπιμηθεύς, ἐγεννήθη ἐκ τοῦ Οὐρανοῦ καὶ Κλυμένης τῆς τοῦ Ὠκεανοῦ θυγατρός. γεννηθεῖσαι δὲ οὕτως ἀπὸ τοῦ Ἄτλαντος καὶ τῆς Πλειόνης, ἐδιώκοντο πέντε ὅλους ἐνιαυτοὺς κατὰ Βοιωτίαν ὑπὸ τοῦ Ὠρίωνος μετὰ καὶ τῆς μητρὸς αὐτῶν συγγενέσθαι ζητοῦντος αὐταῖς, καὶ τοῖς θεοῖς εὐξάμεναι πρὸς πελειάδας ἠμείφθησαν. εἶτα οἰκτείρας αὐτὰς ὁ Ζεὺς τῆς κακοπαθείας ἐν τῷ οὐρανῷ κατηστέρισεν. ἐκ τούτου δὴ τοῦ Ἄτλαντός φασιν οἱ μῦθοι καὶ τὰς Ὑάδας γενέσθαι καὶ υἱὸν Ὕαντα, ὃν ἐν Λιβύῃ θηρῶντα ἐπειδὴ ὄφις ἀνεῖλεν, αἱ ἀδελφαὶ τῷ θρήνῳ νικηθεῖσαι ἀπώλοντο. Ζεὺς δὲ ἀστέρας αὐτὰς πεποίηκε τὰς καλουμένας Ὑάδας. ὧν τὰ ὀνόματα Ἡσίοδος ἐν τῇ Ἀστρικῇ αὐτοῦ

1–p. 548,16 A (*inter scholia ad v. 254 supra post p. 202, l. 5*) *unde* **Est Ald. 3** *post* θυγατρός *add.* γεννηθεῖσαι δὲ οὕτως ἀπὸ τοῦ Ἄτλαντος καὶ Πλειόνης A (*cf. infra l. 5*) : *del.* Est **4** ἐκ τοῦ Οὐρανοῦ A : *immo* ἐκ τοῦ Ἰαπετοῦ τοῦ Οὐρανοῦ (*vide Tzetzam inferius*) **7** κατὰ Est : καὶ A **8** αὐτῶν Est (*cf. Tz.*) : αὐτοῦ A | εὐξάμεναι A^{pc} : –μένας A^{ac} **9** πρὸς A (*sic etiam Tz.*) : εἰς *Maass* **11** κατηστέρισεν Est : κατεστέρησεν A **16** αὐτοῦ *Maass* : αὑτοῦ A

βίβλῳ διδάσκει λέγων (291 M.-W.)·

Φαισύλη ἠδὲ Κορωνίς, εὐστέφανός τε Κλέεια,
Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος.

ἀλλὰ ταῦτα μὲν τὰ μυθικά. ἀλληγορικῶς δὲ Ἄτλαντα νόησον τὸν ὁρίζοντα καὶ Πλειόνην τὸν Ὠκεανόν. ἐκ τούτων γενέσθαι δοκοῦσι καὶ αἱ Πλειάδες καὶ αἱ Ὑάδες καὶ τὰ λοιπὰ τῶν ἄστρων ὅτι ἐξ αὐτῶν ἀνερχόμενα φαίνονται. καλοῦνται δὲ αἱ Πλειάδες τῷ ὀνόματι τούτῳ ἀπὸ Πλειόνης τῆς ἑαυτῶν μητρός, ἢ ἀπὸ τοῦ πελειάδας γενέσθαι φευγούσας τὸν Ὠρίωνα, ἢ ἀπὸ τοῦ εἰς πολλὰ χρησιμεύειν (σημαντικαὶ γὰρ καὶ θέρους καὶ σπόρου), ἢ ὅτι πλησίον ἀλλήλων κεῖνται παρὰ τὸ λαιὸν γόνυ τοῦ Περσέως, ἢ ὅτι χρήσιμοί εἰσι τοῖς πλέουσιν.

KA ἱστέον ὡς ἡ ἑῴα ἀνατολὴ τῶν Πλειάδων γίνεται ἀπὸ Μαίου ιγ' ἕως κγ' τοῦ Ἰουνίου, ἡ δὲ ἑσπερία ἀνατολὴ ἀπὸ Ὀκτωβρίου μέχρι Δεκεμβρίου ιθ'.

2

Tzetzes ad Hes. Op. 382 τοῦ Οὐρανοῦ παιδὸς Ἰαπετοῦ καὶ Κλυμένης ἢ Ἀσίας τῆς Ὠκεανοῦ θυγατρὸς γεννῶνται, ὡς οἱ μυθογράφοι φασί, Προμηθεύς, Ἐπιμηθεύς, Μενοίτιος, καὶ ὁ νῦν ἡμῖν προκείμενος Ἄτλας· ὃν καὶ μυθεύονται κίονας φέρειν μακράς,

αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσι. (α 54)

---

2 Φαισύλη *edd.*: φασύλη A (*sic etiam* Est) **3** ἱμερόεσσα Est: ἱμερόεντα A **4** δὲ Est: *om.* A **13** ἢ Est: *om.* A **14–16 K** (*supra post p. 204, l. 12*) **A** (*unde* Est *Ald.*) **14** ἰστέον K: ἱστέον A **15** ιγ' K (ἐνάτης *Tz. infra*): *om.* A | κγ' A: κδ' K | Ἰουνίου A: Ἰουνίου μηνὸς K | ἡ δὲ ἑσπ– A: ἑσπ– δὲ K **16** Ὀκτωβρίου K: ὀκτο– A | Δεκεμβρίου *Maass*: δεκεβρίου A ὀκτωβρίου K.

17–p. 551,20 Tzetzes ad Hes. Op. 382 (*ed. Gaisford, Poetae minores Graeci t. II, pp. 245 sqq.*) *vide C. Dahlén, Zu Johannes Tzetzes' Exegesis der hesiodeischen Erga, Diss. Uppsala 1933 et R. Keydell, Gnomon 30, 1958, p. 581.* **17–22** *cf. Scholia vetera in Hesiodi Opera et dies, ed. Pertusi p. 129,15–25*

τούτου καὶ Πλειόνης τῆς Ὠκεανοῦ θυγατρὸς γεννῶνται θυγατέρες ἑπτά, περὶ ὧν φησὶν Ἄρατος ἐν τοῖς Φαινομένοις ὧδέ πως·

ἑπτὰ δ' ἐκεῖναι ἐπιρρήδην καλέονται, (261)
ἓξ οἷαί περ ἐοῦσαι ἐπόψιαι ὀφθαλμοῖσιν (258)
Ἀλκυόνη Μερόπη τε Κελαινώ τ' Ἠλέκτρη τε
καὶ Στερόπη καὶ Τηϋγέτη καὶ πότνια Μαῖα.
(262-263)

ταύτας, φασί, τὰς Πλειάδας μετὰ τῆς μητρὸς αὐτῶν τῆς Πλειόνης κατὰ Βοιωτίαν πέντε ὅλους ἐνιαυτοὺς Ὠρίων ἐδίωκεν ὡς συγγένοιτο, αἱ δὲ τοῖς θεοῖς εὐξάμεναι πρὸς πελειάδας μετήμειψαν. Ζεὺς δὲ τῆς κακοπαθείας οἰκτείρας αὐτὰς ἐν τῷ ζῳδιακῷ κατηστέρισεν. ἄλλοι δέ τινες δώδεκα θυγατέρας φασὶ γενέσθαι τῷ Ἄτλαντι καὶ υἱὸν Ὕαντα, ὃν ἐν Διβύῃ θηρῶντα ὄφις ἀνεῖλεν. καὶ αἱ μὲν πέντε τὸν ἀδελφὸν τοῦτον θρηνοῦσαι ἀπώλοντο, Ζεὺς δὲ ἀστέρας ταύτας πεποίηκε, τὰς λεγομένας Ὑάδας, ὧν τὰ ὀνόματα ὁ Ἀσκραῖος οὗτος Ἡσίοδος ἐν τῇ Ἀστρικῇ αὐτοῦ βίβλῳ διδάσκει λέγων·

νύμφαι Χαρίτεσσιν ὁμοῖαι,
Φαισύλη ἠδὲ Κορωνίς, εὐστέφανός τε Κλέεια,
Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος,
ἃς Ὑάδας καλέουσιν ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων.

αἱ δὲ Πλειάδες προείπομεν ὅπως κατηστερίσθησαν. ἀλλὰ καὶ τὰ περὶ Ἄτλαντος καὶ τὴν τούτου καταστέρισιν ἀλληγορίᾳ καὶ ἱστορίᾳ δεούσῃ σαφηνιστέον μοι. Ἄτλας ἐστὶν ἀλληγορικώτερον ὁ ἄξων ὁ ὁρίζων

1–8 *cf. Pertusi 130,2–4* **9–11** *cf. Sch. Apoll. Rh. III 226* (*Wendel p. 225*) **14–17** *cf. Pertusi 131,8–15* | **18–23** *cf. sch. Arat. 172* (*supra p. 166*) *et Tz. Chil. XII 163 sqq.* "Ἡσίοδος . . . οὐ γράφει βίβλον ἀστρικήν, ἧς τὴν ἀρχὴν οὐκ οἶδα, / ἐν μέσῳ τοῦ βίβλου δὲ τὰ ἔπη κεῖνται ταῦτα· / Φαισύλη ἠδὲ Κορωνὶς εὐστέφανός τε Κλέεια, / Φαιώ θ' ἱμερόεσσα καὶ Εὐδώρη τανύπεπλος, / νύμφαι, ἅς Ὑάδας καλέουσι φῦλ' ἀνθρώπων"
24–p. 550,12 *cf. Pertusi 129,15–25* **27sqq.** *cf. sch. Aesch. P.V. 425–435* (*supra praef. p. XXVI*)

καὶ διακρίνων τὸ ὑπὲρ γῆν καὶ ὑπὸ γῆν ἡμισφαίριον. Ἰαπετοῦ δὲ, ἤτοι κινήσεως οὐρανοῦ, παῖς, ὅτι κατ' ἀρχὰς συγκεχυμένου τοῦ παντὸς κοσμικοῦ σώματος, συνέβη τὸν ἀέρα καθ' Ἕλληνας σφοδροτέρας κινήσεως τετυχηκέναι, καὶ οὕτω διορίσαι τὸ ἄνω καὶ κάτω ἡμισφαίριον καὶ διαρθρῶσαι τὸ πᾶν. θυγατέρες δὲ Ἄτλαντος αἱ Πλειάδες καὶ Ὑάδες καὶ τὰ λοιπὰ τῶν ἄστρων καὶ τῶν ἀστέρων ὅτι μετὰ τὸ διορισθῆναι τὰ ἡμισφαίρια καὶ διαρθρωθῆναι τὸ πᾶν οἱ ἀστέρες ἐφάνησαν καὶ πᾶν τὸ τῶν ἄστρων σύστημα. κίονες δέ, ἃς ὁ ἄξων οὗτος Ἄτλας κατέχει, ὁ βόρειος πόλος ἐστὶ καὶ ὁ νότιος. καὶ ταῦτα μὲν περὶ τοῦ στοιχειακοῦ Ἄτλαντος, τοῦ καὶ ἄξονος. γέγονε δὲ καί τις Λίβυς ἀνὴρ μαθηματικώτατος, Ἄτλας τὴν κλῆσιν, ὃς ἐμυθεύθη τὸν οὐρανὸν ἔχειν διὰ τὸ ἀρίστως ἀστρολογεῖν καὶ περὶ τῶν οὐρανίων ἀκριβέστατα διδάσκειν, οὗ καὶ υἱοὶ Ἕσπερος καὶ Ὕας, καὶ θυγατέρες Πλειάδες καὶ Ὑάδες φιλαδελφόταται· οὓς καὶ ἃς ἐν τοῖς ἄστροις σοφώτατος ὢν κατηστέρισεν, ὡς καὶ τοῖς ἀστρολόγοις οἱ ἀστέρες ὦσιν εὐσύνοπτοι ὀνόματα ἔχοντες, καὶ τῶν παίδων αὐτοῦ τοῖς ἄστροις παραμένῃ τὸ ὄνομα τῷ παντὶ αἰῶνι περιφερόμενον. τοῦτο δὲ καὶ μύριοι ἕτεροι πεποιήκεσαν, ὡς καὶ ἐπὶ Πτολεμαίου ὁ Κόνων καταστερίσας τῆς Βερενίκης τὸν πλόκαμον. οὕτω μὲν οὗτοι καὶ οἱ λοιποὶ πάντες ἀστέρες καὶ τὰ ἄστρα κατηστερίσθησαν. οὐ γὰρ ἐπειδὰν ἀποθάνωμεν, κατά τινας τῶν ἔξω σοφῶν, ἀστέρες γινόμεθα, οὓς ὁ κωμικὸς Ἀριστοφάνης ἐμπέπαιχε. ἀλλὰ τὸ ψυχρὰ λέγειν καὶ κατασκευάζειν παρέντες, τήν τε ἱστορίαν τὴν περὶ τῆς διώξεως τῶν Πλειάδων ὑπὸ Ὠρίωνος ὕστερον πολλαῖς γενεαῖς τῶν Πλειάδων ὑπάρχοντος, καὶ τὴν τῆς Ἠλέκτρας πυράκτωσιν ἐν τῇ πορθήσει τῆς Τροίας μετὰ ἑπτὰ γενεὰς γενομένῃ, μικρόν δέ τι φάμενοι περὶ τοῦ πόθεν καλεῖται Πλειάς, καὶ περί τινων ἑτέρων βραχυτάτων, χωρήσομεν πρὸς

13–16 = *sch. Aesch. P.V. 425–435* (*supra praef. p. XXVII*) **32** γενομένῃ *scripsi* : –μένης *Gaisf ord.*

τὴν διδασκαλίαν τῶν ἀστρικῶν ἐπιτολῶν καὶ τῶν δύσεων. ἀρχαγγελικὰς δὲ δυνάμεις ὅστις ἱμείροιτο τὰς Πλειάδας μανθάνειν, ὡς καὶ τὰς Μούσας, προσεχέτω τῷ Πρόκλῳ. οὐδὲν γὰρ ἡμεῖς τοιοῦτο λαβρὸν οὐδὲ σοφὸν ἐπιστάμεθα, ἀλλὰ σαφές τε καὶ σύντομον καὶ τῆς ἀληθείας ἐχόμενον, εἰ μή που ἢ ψευδῆ τινὰ ἱστορίαν ἐλέγχοιμεν ἢ διορθοίημεν, ἤ τι μυθῶδες ἀλληγοροίημεν, ἢ ἀτέχνως γεγραμμένον τεχνικῶς διαγράφοιμεν, οὐ μεταρσίοις λόγων συνθήκαις, οὐ κόμπῳ ῥημάτων, ἀλλὰ σαφεῖ καὶ περιπεζίῳ τῇ λέξει, ὡς ὁ διδασκαλικὸς τρόπος παρακελεύεται. Πλειάδες λέγονται ἀπὸ Πλειόνης τῆς αὐτῶν μητρός, ἢ ἀπὸ τοῦ πελειάδας αὐτὰς γεγονέναι φευγούσας τὸν Ὠρίωνα, ἢ παρὰ τὸ εἰς πολλὰ χρησιμεύειν, σημαντικαὶ γὰρ θέρους καὶ σπόρου, ἢ ὅτι πλησίον ἀλλήλων κεῖνται περὶ τὸ λαιὸν κέρας τοῦ Ταύρου. λήθῃ κατασχεθεὶς καὶ περὶ Ὑάδων γράφειν, εἶπον τὰς Πλειάδας παρὰ τὸ λαιὸν κέρας κεῖσθαι τοῦ Ταύρου· ἰστέον οὖν ὅτι αἱ Ὑάδες κεῖνται περὶ τὸ λαιὸν μέρος τὸ ῥηθέν, αἱ δὲ Πλειάδες περὶ τὸ οὐραῖον τοῦ αὐτοῦ Ταύρου, ὅπερ ἡμίτομόν ἐστιν.

ἡ ἐπιτολὴ δὲ τῶν Πλειάδων γίνεται ἀπὸ Μαίου ἐνάτης μέχρις Ἰουνίου κγ′, ἡ δὲ τούτων δύσις ἀπὸ Ὀκτωβρίου η′ μέχρι Δεκεμβρίου ἐνάτης. **Tzetzes ad Hes. Op. 382**

2–4 *cf. Pertusi 130,5* **11–15** *cf. Pertusi 383*[c], *131,23–132,4.* **21–23 Tzetzes ad Hes. Op. 382** (*Gaisford ibid. p. 251*) *cf. Pertusi 385*[a], *p. 134.*

II

SCHOLIA AD ILIADIS Σ 486

Πληιάδας: ζ′ ἀστέρες εἰσὶ κείμενοι ἐπὶ τῇ οὐρᾷ τοῦ Ταύρου, μᾶλλον δὲ ἐπὶ τοῦ διχοτομήματος αὐτοῦ· ὁ γὰρ Ταῦρος σῶος οὐκ ἀνηστέρισται, ἀλλ' ἕως τῶν ἰσχίων. αὗται δέ εἰσιν Ἄτλαντος καὶ Πληιόνης θυγατέρες· ὧν τὰ ὀνόματα Μαῖα Ταϋγέτη Κελαινὼ Μερόπη Ἠλέκτρα Στερόπη Ἀλκυόνη. Ἄτλας δὲ εἷς τῶν Γιγάντων μιγεὶς Πληιόνῃ τῇ Ὠκεανοῦ ἔσχε θυγατέρας ζ′, αἳ τὴν παρθενείαν ἀγαπήσασαι συνεκυνήγουν τῇ Ἀρτέμιδι. θεασάμενος δὲ Ὠρίων ἠράσθη καὶ ἐδίωκεν αὐτὰς μιγῆναι βουλόμενος. αἱ δὲ περικατάληπτοι γενόμεναι θεοῖς ηὔξαντο μεταβαλεῖν τὴν φύσιν. Ζεὺς δὲ ἐλεήσας αὐτὰς πελειάδας ἐποίησε καὶ διὰ τῶν ἄστρων κατεστήριξεν. ὠνομάσθησαν δὲ Πληιάδες ἀπὸ Πληιόνης τῆς μητρὸς αὐτῶν.

φασὶ δὲ Ἠλέκτραν οὐ βουλομένην τὴν Ἰλίου πόρθησιν θεάσασθαι διὰ τὸ κτίσμα εἶναι τῶν ἀπογόνων καταλιπεῖν τὸν τόπον οὗ κατηστέριστο. διόπερ οὔσας πρότερον ζ′ γενέσθαι ϛ′. ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς.

---

p. 552–555 Scholia ad Iliadis Σ 486 *quae ut ex Arateis orta scholiis nostris inseruit Maass* (*Comm. Ar. Rell. pp. 388–390*); *Maassianam recensionem adhibeo* **12–13** τῶν ἄστρων κατεστήριξεν *Robert* (*Erat. Catast. Rell. p. 42*) : τῶν ἄρκτων κατηστέρισεν Ven. A **15–18** *cf. supra p. 205, ll. 9–15* **18** ἡ ἱστορία παρὰ τοῖς κυκλικοῖς *del. Maass*

Ὑ ά δ α ς: τοὺς ἐπὶ τῶν κεράτων τοῦ Ταύρου ζʹ ἀστέρας κειμένους. καλοῦνται δὲ Ὑάδες ἤτοι διὰ τὴν πρὸς τὸ Υ στοιχεῖον ὁμοιότητα, ἢ ἐπειδὴ αἴτιαι ὄμβρων καὶ ὑετῶν καθίστανται.

Ζεὺς ἐκ τοῦ μηροῦ γεννηθέντα Διόνυσον ταῖς Δωδωνίσι νύμφαις τρέφειν ἔδωκεν Ἀμβροσίᾳ Κορωνίδι Εὐδώρῃ Διώνῃ Αἰσύλῃ Πολυξοῖ. αὗται θρέψασαι τὸν Διόνυσον περιῄεσαν σὺν αὐτῷ τὴν εὑρεθεῖσαν ἄμπελον ὑπὸ τοῦ θεοῦ τοῖς ἀνθρώποις χαριζόμεναι. Λυκοῦργος δὲ μέχρι τῆς θαλάσσης συνεδίωξε τὸν Διόνυσον. ἐκείνας δὲ ὁ Ζεὺς ἐλεήσας κατηστέρισεν. ἡ ἱστορία παρὰ Φερεκύδει.

Π λ η ι ά δ α ς Ὑ ά δ α ς τ ε: τὰς μὲν κατηστερισμένας ἐν τῷ μετώπῳ τοῦ Ταύρου Ὑάδας φασὶν εἰρῆσθαι, τὰς δὲ ἐπὶ τῆς ἡμιτόμου πλευρᾶς Πληιάδας καλεῖσθαι. Ἄτλαντι γὰρ ⟨τῷ⟩ τοῦ Ἰαπετοῦ καὶ Αἴθρᾳ τῇ Ὠκεανοῦ, καθά φησι Τίμαιος, θυγατέρες δώδεκα καὶ υἱὸς Ὕας. τοῦτον ἐν Λιβύῃ κυνηγοῦντα ὄφις κτείνει. καὶ αἱ μὲν εʹ τὸν ἀδελφὸν θρηνοῦσαι ἀπόλλυνται, τὰς δὲ λοιπὰς δι' οἶκτον καταστερίσας Ζεὺς Ὑάδας ἐπωνόμασεν ἐπωνύμως τοῦ ἀδελφοῦ. αἱ δὲ ζʹ βραδέως μὲν πλείους δὲ ἀποθανοῦσαι Πληιάδες εἴρηνται. Φερεκύδης δὲ καθὰ εἴρηται τὰς Ὑάδας Δωδωνίδας νύμφας φησὶν εἶναι καὶ Διονύσου τροφούς, ἃς παρακαταθέσθαι τὸν Διόνυσον Ἰνοῖ διὰ τὸν Ἥρας φόβον, καθ' ὃν καιρὸν αὐτὰς καὶ Λυκοῦργος ἐδίωξεν. τῶν δὲ Πληιάδων οὐσῶν ἑπτὰ πάνυ ἀμαυρὸς ὁ ἕβδομος ἀστήρ ἐστιν, ὡς μὲν Ἄρατος ἐν τῷ πρὸς Θεόπροπον ἐπικηδείῳ φησί, Τροίας πορθουμένης τὴν Δαρδάνου μητέρα Ἠλέκτραν μίαν οὖσαν τῶν Πληιάδων φυγεῖν τε τὴν τῶν ἀδελφῶν σύνο-

---

1–4 *cf. supra p. 163, ll. 9–15 et Etymologica ibi laudata* **7** Αἰσύλῃ *codd.*: Φαισύλῃ *corr. Robert* **11** ἡ ἱστορία παρὰ Φερεκύδει *del. Maass* **17** Τίμαιος *codd.*: Μουσαῖος *e ceteris testimoniis coni. Robert, cf. J. Martin, Hist. Text. p. 79 sqq* **23** καθὰ εἴρηται *del. Maass* **26–p. 554,2** *cf. supra p. 205, ll. 5–15; 206, ll. 13 sqq., 208, ll. 1–16* **28** *ante* Τροίας *add.* διὰ τὸ *Maass*

δον καὶ τὰς κόμας λύσασαν ἐνίοτε κομήτην ἀστέρα φαίνεσθαι.

φησὶ δὲ καὶ Ἑλλάνικος ἐν τῷ πρώτῳ τῶν Ἀτλαντικῶν τὰς μὲν ϛʹ θεοῖς συνελθεῖν, Ταϋγέτην Διί, ὧν γενέσθαι Λακεδαίμονα, Μαῖαν Διί, ἀφ' ὧν Ἑρμῆς, Ἠλέκτραν Διί, ὧν Δάρδανος, Ἀλκυόνην Ποσειδῶνι, ὧν Ὑριεύς, Στερόπην Ἄρει, ὧν Οἰνόμαος, Κελαινὼ Ποσειδῶνι καὶ αὐτὴν συγγενέσθαι, ὧν Λύκος, Μερόπην δὲ Σισύφῳ θνητῷ ὄντι, ὧν Γλαῦκος· διὸ καὶ ἀμαυρὰν εἶναι.

Ὑάδας δὲ εἰρῆσθαι, ἤτοι παρὰ τὸ σχῆμα τῆς τῶν ἀστέρων θέσεως (τῷ γὰρ Υ στοιχείῳ παραπλήσιόν ἐστιν), ἢ ἐπεὶ ἀνατελλουσῶν αὐτῶν καὶ δυνουσῶν ὕει ὁ Ζεύς.

αἱ δὲ Πληιάδες ἤτοι ἀπὸ τῆς μητρὸς αὐτῶν Πληιόνης, ἢ ὅτι πλείους ὁμοῦ κατὰ μίαν συναγωγήν εἰσι (Βότρυν γὰρ αὐτὰς λέγουσιν), ἢ ὅτι πλείους μὲν εἶναι δοκοῦσιν, ἐπὶ δὲ τῆς ἀληθείας ἐλάττους εἰσίν, ἢ πλησιάδες (πλησίον γὰρ κεῖνται), ἢ ὅτι πλείους δι' αὐτῶν αἱ τῶν ὡρῶν ἐπισημασίαι, ἢ ὅτι πλειῶνος (ὅ ἐστιν ἐνιαυτοῦ) σημαντικαί· χειμῶνα γὰρ καὶ θέρος διορίζουσιν, καθὸ ἐπιφέρονται, καὶ διὰ μόνων αὐτῶν σημειοῦνται τὰς ἑῴας ἐπιτολὰς πρὸς θέρος καὶ τὰς ἑσπερίους πρὸς ἄροτον, ὡς Ἡσίοδος (Opp. 383-384) „Πληιάδων Ἀτληγενέων ἐπιτελλομενάων | ἄρχησθ' ἀμήτου, ἀρότοιο δὲ δυσομενάων". τὰς δὲ Ἄτλαντος ἀτυχίας κλαιούσας αὐτὰς καταστερισθῆναί φησιν ὁ Αἰσχύλος (fr. 619 Mette).

Πληιάδων δὲ ἀνατολὴ ἑῴα ἡλίου ὄντος ἐν Διδύμοις, δύσις δὲ ἑῴα κατὰ τὴν διάμετρον ἡλίου ὄντος ἐν Σκορπίῳ. ⟨ἐν⟩ Ταύρῳ δὲ ὄντος ἡλίου κατὰ τὸ εἰκὸς ἑκατέ-

---

8–10 *cf. supra p. 207, 16–20* **9** διὸ Ven. A : ἣν D *quod praefert Maass* **11–14** *cf. supra p. 163, 15sqq.* **20–21** *cf. Etym. Gen. s. v. πλειών·* "ἢ παρὰ τὸ πλειὰς γέγονε· καὶ γὰρ αἱ Πλειάδες σημαντικαί εἰσι τοῦ ἐνιαυτοῦ καὶ δύνουσαι καὶ ἀνατέλλουσαι". *Cf. etiam supra p. 202, ll. 10–11.*

ρωθεν ἐπίφασις γίνεται· καὶ γὰρ τὸν προανατέλλοντα Κριὸν ἐπὶ ε′ ἡμέρας προκαταλάμπει κατ' ἀρχὰς ἐγγὺς ὢν αὐτοῦ καὶ τοὺς προανατέλλοντας Διδύμους ἐπ' ἄλλας ἡμέρας ε′, ὥσπερ τὸ ἔν τινι καιόμενον πῦρ θέρμης ἀπόρροιαν ἔχει βραχεῖαν καὶ πρὸς τοὺς ἑκατέρωθεν. διὰ τοῦτο καὶ Ἡσίοδος ἔφη (Opp. 385 sq.) „αἳ δή τοι νύκτας τε καὶ ἤματα τεσσαράκοντα | κεκρύφαται", διότι καταυγάζονται.

III

CODICIS SCORIALENSIS Σ III 3 APPENDIX

1) μετάβασις ἡλίου ἀπὸ ζῳδίου εἰς ἕτερον ζῴδιον

Ἰαννουαρίου ιθ′, ἐπὶ η′ ὥρᾳ τῆς νυκτός, Ὑδροχόος.
Φευρουαρίου ιθ′, ἐπὶ κ′ ὥρᾳ τῆς νυκτός, Ἰχθύες.
Μαρτίου κα′, ἐπὶ κβ′ ὥρᾳ τῆς ἡμέρας, Κριός.
Ἀπριλλίου κβ′, ἐπὶ κγ′ ὥρᾳ τῆς νυκτός, Ταῦρος.
Μαίου κγ′, ἐπὶ ὥρᾳ δ′, Δίδυμοι.
Ἰουνίου κδ′, ἐπὶ ὥρᾳ ι′, Καρκῖνος.
Ἰουλίου κε′, ἐπὶ ὥρᾳ ε′, Λέων.
Αὐγούστου κε′, ἐπὶ ὥρᾳ τετάρτῃ, Παρθένος.
Σεπτεβρίου κε′, ἐπὶ ὥρᾳ η′, Ζυγός.
Ὀκτωβρίῳ ἐπὶ ὥρᾳ ἀρχομένης ἡμέρας, Σκορπίος.
Νοεμβρίῳ κβ′, ἐπὶ ὥρᾳ ζ′ ἡμέρας, Τοξότης.
Δεκεμβρίου κα′, ἐπὶ κβ′ ὥραις τῆς νυκτός, Αἰγόκερως.

---

2) Ἐμπεδοκλέους σφαῖρα διὰ στίχων.

---

1 (53^{r}*,24–34*) **10** ὀκτωβρίου *scribendum esse videtur; numeri desunt* **11** νοεμβρίου *scribendum* **12** *sequuntur* (*34–40*) *prolegomenorum excerpta* (*supra p. 543 ll. 1–5 et p. 541, ll. 3–11*).
2 (53^{r}*,40*) *vide Hist. Text. pp. 223 et 233.*

3) τοῦ Ἰώβ (12, 12)· ἐν πολλῷ χρόνῳ σοφία, ἐν πολλῷ δὲ βίῳ ἐπιστήμη.

---

4) τὰ γένη ἢ πρὸ τῶν πολλῶν, οἷον οἱ δημιουργικοὶ καὶ σπερματικοὶ τῶν ὄντων λόγοι, ἤγουν οἱ προορισμοὶ καὶ αἱ προγνώσεις τοῦ θεοῦ τῶν ὄντων. περὶ ταῦτα τὰ πρὸ τῶν πολλῶν γένη καὶ εἴδη καταγίνεται ὁ θεολόγος φιλόσοφος.

ἢ ἐν τοῖς πολλοῖς, οἷον τὰ αἰσθητὰ πάντα, ἤγουν τὰ κατατεταγμένα γένη καὶ εἴδη (τὰ γὰρ πρὸ τῶν πολλῶν ἄτακτά φασι). περὶ ταῦτα τὰ ἐν τοῖς πολλοῖς γένη καὶ εἴδη, ἤγουν τὰ αἰσθητὰ πάντα, καταγίνεται ὁ φυσιολόγος φιλόσοφος.

ἢ ἐπὶ τοῖς πολλοῖς, οἷον τὰ ἐξ ἀφαιρέσεως πάντα ὡς τὰ μαθηματικά, τὰ ἐν τῇ μνήμῃ καὶ διανοίᾳ ἡμῶν ἐκ τῶν ἐπὶ τοῖς πολλοῖς ἀνατυπουμένων καλῶς γενῶν καὶ εἰδῶν. περὶ ταῦτα καταγίνεται ὁ διαλεκτικὸς φιλόσοφος.

---

3 *(53r, 40–41)*
4 *haec praebet* S *infima in pagina inter tres columnas distributa; olim edidi Hist. Text. p. 233.*

IV

THOMAE CARMINA

1.—Στίχοι ὑπεραπολογητικοὶ Ἀράτου

εἰ κατάρατος Ἄρατος ἄρα, φίλος,
οὐκ ἂν σοφὸς γένοιτο ταῦθ' ὁ μανθάνων
ὅσων Ἄρατος συγγραφεύς σοι τυγχάνει.
εἰ δ' ὃς πονήσας ὑπεράντλους τοὺς πόνους
εἰς σὴν σοφὴν προὔθηκε μάθησιν λόγους
λαβὼν συνεργὸν ὡς ἐγὼ θεὸν λέγω
ἦν ἄρα κατάρατος ὡς σὺ λέγεις,
σχολῇ γ' ἂν ἄλλος ἐκφυγὼν τὴν κατάραν
ῥάθυμος ὤν τις εὐλογηθείη τάχα.
εἰ δ' ὡς πλάνην πάσχοντι σεπτῶν δογμάτων
αὐτῷ προσῆψας ἰταμῶς τὴν κατάραν,
ὡς δύσκολός τις καὶ τραχὺς εἶ, γεννάδας
κριτὴς καταστὰς πρὶν θεὸς στήσῃ κρίσιν,
τὴν ἀπόφασιν προφθάνων τοῦ δεσπότου,
ἣν οὐ γινώσκεις πῶς γένοιτο καὶ πότε.
ἐγὼ δὲ τοῦτον οὐ κατάρατον λέγω,
τὸν μὴ προφητῶν συμβαλόντα τοῖς λόγοις,
τὸν μὴ τυχόντα Μωσέως νομοθέτου,

K *post ultimum scholium haec duo poemata (si fas est hoc verbo uti) praebet codex* K, *eodem dodecasyllaborum versuum numero conscripta, quorum utrumque eidem auctori tribui posse videtur, Thomae scilicet alicui, quem spero (tanta est istorum stultitia) non Magistrum fuisse; cf. autem ea quae supra ad p. 534, l. 10 e codicibus* KA *attuli; eundem in modum Arati nomen illudit Romanus Melodus poeta Byzantinus (ed. Maas-Trypanis, p. 265*: "τί φαντάζονται πρὸς Ἄρατον τὸν τρισκατάρατον;"). **1,12** *post* εἶ *distinxi*

τὸν Χριστὸν αὐτὸν οὐκ ἰδόντα τοῖς κάτω,
κηρύγματός τε τῶν σοφῶν ἀποστόλων
ὅς οὐ κατηξίωτο, φεῦ τῆς ζημίας.
οἴκτου δὲ τοῦτον ἀξιοῦν μᾶλλον πρέπει·
σὺ δὲ φθονεῖν ἔοικας Ἀράτῳ, φίλος.

2. — Ἕτεροι ἀντιβατικοὶ Ἀράτου Θωμᾶ

οὐ μὴν Ἄρατος κατάρατος, ὦ φίλος;
τίς γὰρ σοφὸς γένοιτ' ἂν αὐτὰ μανθάνων
ἃ δὴ συνεγράψατο γνῶσις Ἀράτου;
ἐπεὶ πονήσας ὑπεραπείρους πόνους
προὔθηκεν ἀνόνητον ἔκθεσιν λόγων,
ὡς μὴ σύνεργον τοῖς πόνοις θεὸν φέρων.
ἦν γὰρ Ἄρατος κατάρατος, ὡς λέγω.
ἄλλος δὲ σύμπας ἐκφύγοι τὴν κατάραν,
ἐπευλογηθεὶς οἷς προσέσχεν ἐν θεῷ.
ὡς γὰρ πρὸς ὀρθὴν μὴ τραπέντι τὴν τρίβον
αὐτῷ προσάπτω τὴν κατάραν εὐλόγως,
σαφὴς ἀληθὴς ὢν πρὸς αὐτόν, γεννάδας
οὐχὶ κριτής, τὰ πλὴν θεοῦ κρίσιν λέγω,
τὴν ἀπόφασιν ἀνάγων τῷ δεσπότῃ,
ἣν οἱ κατ' αὐτόν, οἶδα, δέξονται τότε.
ἐντεῦθεν αὐτὸν τρισκατάρατον λέγω,
τὸν μὴ λόγοις οἷς εἶχε γνόντα τὸ πρέπον,
τὸν μὴ δραμόντα πρὸς νόμους θεογραπτούς,
τὸν οὐκ ἰδόντα καὶ Χριστοῦ σεπτοῖς τύποις
οἷς προὔγεγραπτο καὶ στῖφος τῶν κηρύκων,
ὧν οὗτος οὐχ ἥψατο, φεῦ ἀγνωσίας.
οἶκτος δὲ τούτῳ τίς πρέπων; μὴ κατάρα,
εἰ μὴ συναίρειν Ἀράτῳ δοκεῖς, φίλος;

2, 8 ἐκφύγοι: *fortasse* ἐκφύγῃ K **12–13** *distinxi* **13** τὰ πλὴν: α πλ *vix leguntur* **15** τότε: οτ *non legitur* (K *mutil.*) **18** θεογραπτοὺς *scripsi* : θεογρα|||ους K *an* θεογράφους *?* (*sed spatium longius videtur esse*) **22** *distinxi*.

V

PAPYRUS BEROLINENSIS 5865

1

A

1 ϑε ο
2 βαϑεως εν
3 ϑνησκειν
4 καμονα
5
6 κ
7
8

B

Ursa maior (v. 146) 1 α π λ ο ο ι απλως και
2 ως ετυχεν διχα ονο
3 ματος κρατι δε
Gemini (v. 147) 4
5 κατ ιϑυ της κεφ(αλης)

Papyrus Berolinensis 5865 (*BKT V, 1, p. 54; Pack 72*); *edidit Maass, Comm. Ar. Rell. pp. 556–558; vide J. Martin, Hist. Text. pp. 216–218. Sunt laciniae duae a cardine Aratei codicis abreptae, ut interiorum marginum frustula octo nunc habeamus. Hic codex non continuo commentario instructus est, sed adnotatiunculis a scholiis nostris fortasse non alienis. Papyrum ipsam non vidi; itaque cum imagines lucis ope depictae quas Maass libro suo adnexuit nimis indistinctae essent, Maassianum textum repetere malui.*

6 της ελι(κ)ης
7

2

1 τον την ευρωπην Taurus (v. 167 sqq.)
2 κατεστηριξεν
3 γαρ δυνουσι Hyades (v. 173)
4 ν πετρου ν

3

A

1 ϊ σ η σ τ α θ μ η α(πο) Cepheus (v. 184)
2 μερους της αρκτ(ου)
οσην
3 εως απ αλληλων α
4 βλεψιν ακτϊν εις το βα
5 .κασσεϊεπεια ειπεν π
6 (ν)εατης αρκτου τ (v. 184)
7 εν γαρ τη πληρο(σε)λη(νω)

B

1 ε π ι ρ ρ η δ η ν φανερως Casiepia (v. 191)
2 υ π (ο) κ ε ι μ ε ν ο ι αθριν (v. 194)
3 ι ν δ α λ λ ο ν τ α ι αντιφαι(νονται) (v. 194)

4

1 ος δ εστι
2 ν και μεδουσης

5

1 τωι ναυτη Capricornus (v. 294)
2 μαλκην οιον
3 ν
4

6

non legibilia

7

A

Sirius (v. 337) 1 σ η μ' ε μ ε ν (α ι) μ ε (λ ε ε σ σ ι ν)
2 αλλα αστερες εισιν
3 οτε δελ αστερας
4 ημισυ ιππου εν τω
5 αδι τυπο
6 αυτον
7 ρ διατ
8 αστρον

B

Sirius (v. 329) κ υ (α) ν (ε ο ς) αφανης

C

οϑ
κατ

8

non legibilia

VI

SCHOLIA CODICUM LAURENTIANI XXXI 32 ET MARCIANI 465

De his codicibus vide praef. p. IX.

1) In Laurentiano (meras glossas omisi).

sch. 9 ἢ γυρῶσαι, κύκλῳ τῶν φυτῶν τὴν γῆν σωρεῦσαι (supra versum περισκάψαι καλῶς; cf. p. 54, 1-2).

14 (πρῶτόν τε καὶ ὕστατον): ἀντὶ τοῦ διὰ παντὸς χρόνου καθ' ἑκάστην ὥραν (58, 5–6).

18 (τεκμήρατε): πιστώσασθαι ἀπὸ τοῦ τεκμηρίου ἢ εἰς τέλος ἀγάγετε. τὸ γὰρ τέκμωρ τέλος. ἄλλοι δὲ δείξατε (61, 11-14).
add. altera manus τὸ γὰρ τέκμαρ καὶ πέρας ταὐτόν ἐστιν κατὰ τὴν ἀρχαίαν γλῶτταν.

53 ἡ σπεῖρα φέρεται ἄχρι τοῦ ὀπισθίου (95, 13).

55 (οἰόθεν): ἐξ ἑνὸς μέρους (96, 7).

109 (διακρίσιος περιμεμφέος): τῆς διακρίσιος ἐχούσης μέμψιν (132, 4-5).

118 (ὑποδείελος): πρὸς ἑσπέραν ὅτε οὐδεὶς αὐτὴν ἑώρα (134, 12-13).

217 (εὐαλδέος): ἀπὸ τοῦ ἄλδω τὸ αὐξάνω ἢ ἐκ τοῦ ἄλλω τὸ πηδῶ πλεονασμῷ τοῦ Δ (cf. sch. 394, p. 264, 4).

270 (ἀπευθέος): ἀπευθέες ἄπειροι ἄτεχνοι. ἀπευθὴς ἄφημος.

516 (ἐληλάμενος): καθήμενος ἀντὶ τοῦ ἐπὶ γόνυ.

600 (παρηορίαι): παρήορος παρειμένος τὰς φρένας. παρήορος ἵππος καὶ παρηορίῃσι (Π 152) ταῖς ἐξὼ τοῦ ζυγοῦ ἡνίαις.

676 (ἀμαρυγαὶ): ἀμαρυγαὶ ὄψεις. οἱ δὲ ἀκτῖνας ὄψεως. ἀμαρυγὴ λαμπηδών.

2) In Marciano:

sch. 1 πάνυ πρεπόντως ὁ Ἄρατος τὴν τῶν ἄστρων διεξιέναι μέλλων θέσιν, τούτων τὸν πατέρα καὶ δημιουργὸν Δία ἐν πρώτοις προσφωνεῖ.

9 (γυρῶσαι): ἢ κύκλῳ τῶν φυτῶν γῆν σωρεῦσαι. (54, 1-2)

10–11 οἱ ἀκινητοὶ γὰρ οὗτοί εἰσιν οἱ ἀπλανεῖς καθ' αὑτούς, συμπεριάγονται δὲ τῇ τοῦ οὐρανοῦ ῥύμῃ. ἄστρον δέ ἐστι τὸ ἐκ πλείστων ἄστρων σύστημα οἷον Καρκίνος, Λέων, Κύων καὶ τὰ τούτων παραπλήσια. ὁ δὲ Πίνδαρος ἄστρον λέγει τὸν ἥλιον κατὰ παράχρησιν.

VII

PALATINI GR. 40 (P) et PARISINI GR. 2860 ADNOTATIONES[1)]

140. — ⟨μεγάλης . . . Ἄρκτου⟩: τοῦ ἄστρου ἄνωθεν ἐμνημόνευεν. P.

178. — ⟨ὁμηλυσίῃ περ ἀνελθών⟩: καίπερ ὁμοῦ ἀνατείλας τῷ Ἡνιόχῳ, ἐπειδὴ τὸν ἔξω πόλον διέρχεται. PG. cf. sch. 178.

184. — ⟨ἴση οἱ στάθμη⟩: τόσον ἀπολείπεται τῶν ὀπισθίων ποδῶν τῆς Ἄρκτου ὅσον ὑπάρχει τὸ διὰ μέσου τῶν ἑαυτοῦ δύο ποδῶν. PG. cf. sch. 185.

224. — ⟨ἔνδιος⟩: κατὰ τί λέγει; τοῦ οὐρανοῦ, ἤτοι τὸν μεσημβρινόν, ἢ ἔνδιος ἤτοι κατὰ τὸν ἀέρα. P ἤτοι μεσημβρινὸν ὅτι (?) μετὰ τοῦ οὐρανοῦ. ἢ κατὰ τὸν ἀέρα. G. Haec in ambobus codicibus lectu difficillima. Cf. sch. 223.

225. — θοώταται: παρ' ὅσον μείζονα πόλον διέρχεται ὁ Κριὸς τῆς Ἄρκτου, εἰ καὶ τὸ αὐτὸ διάστημα ἐξ ἴσου διέρχονται ἀμφότεροι. τοῦτο δὲ τούτοις συμβαίνει ὅπερ τῇ στρόφιγγι καὶ τῇ ὅλῃ θύρᾳ. PG. cf. sch. 226, p. 186, 10–18.

265—266. — ⟨ἦρι καὶ ἑσπέριαι⟩: ἤτοι κατὰ τὸν καιρὸν τοῦ θέρους ἀνατέλλει (sic) καὶ κατὰ τὴν ἀρχὴν τοῦ χειμῶνος δύεται. P. cf. sch. 265.

---

[1] Vide praef. p. XIV; lectionis varietates codicis G non omnes affero.

271 — πέτηλον: τοῦτο λέγει διὰ τὸ πεπτωκέναι αὐτό. PG. cf. sch. pp. 213–214.

275. — ⟨αἰόλος⟩: ἤγουν ἀέριος (P). ἢ τῆς Λύρας πλησίον (PG) τρέχει διὰ τὸν ἀέρα (P).

276. — ⟨τὰ δέ οἱ ἔπι τετρήχυνται⟩: τὰ (G) πτερὰ αὐτοῦ τραχέα ὑπάρχουσιν (PG). ἤτοι πεφώτισται (P). Cf. sch. p. 216, 5.

336. — ⟨ἀκούομεν⟩: αἰσθανόμεθα ψύχους. κείνου γὰρ ἀνατέλλοντος καὶ τῷ ἡλίῳ συμπεριπατοῦντος καύματα εἰσίν. PG. cf. sch. 332.

356. — ⟨ἀγινεῖ⟩: φέρει. πρὸς ἐκείνην ὁ νότος (?) νεύει. P.

360. — ⟨πολυκλαύστου⟩: ὡς ἀπὸ τοῦ Φαέθοντος ὅτι ἐκεῖ ἔκλαυσαν αἱ Ἡλιάδες αἱ καὶ αἴγειροὶ διὰ τὸν Φαέθοντα. P; brevius G; cf. sch. 355 p. 254, 5–8.

382. — ⟨οὐκέτι νῦν ὑπὸ θαύματι τέλλεται ἀστήρ⟩: ἤγουν (?) ξένος ὂν (?) μὴ ἴδῃ τις ποτὲ ἀνατέλλοντα ἄστρα (?). τί οὖν (?) θαυμάζομεν; ἀλλὰ πάντες γνώριμοί εἰσιν. P (vix legibile).

408. — ⟨ἀρχαίη Νύξ⟩: ἀρχαία γάρ ἐστιν ἡ Νύξ, τοῦ Ἐρέβους γεννηθεῖσα. PG. cf. sch. 408.

410. — ⟨σῆμα⟩: τὸ Θυτήριον, νότιον ὄν, πρώτως πνέεται (sic) τῷ νότῳ. ὅταν νῦν καθαρὸν θεαθῇ νέφους, καὶ βορέου ἐνισταμένου, γίνωσκε ὅτι νότος μέλλει πνεῦσαι, καὶ φυλάσσου τὸν κλύδωνα· καθαρὸν γὰρ τὸ Θυτήριον ὑπὸ τοῦ νότου ἐγένετο ἄρτι πνεῖν διεγερθέντος. καὶ εἰ μὴ πάρεστιν, ἀλλ' ὅσον οὔπω ἐλεύσεται. PG.

432. — ⟨ὀλίγη δέ μιν⟩: καθαρὸν οὖν τὸ Θυτήριον καὶ τοῦ εὔρου πνέοντος καὶ τοῦ νότου. ὅταν γοῦν καθαρὸν φαίνηται, τῶν ἐπάνω τούτου ἄστρων ὄντων ἐζοφωμένων ὑπὸ νέφων, γίνωσκε μέλλειν πνεῦσαι τὸν νότον· καὶ ἔστι τοῦτο σημεῖον κλύδωνος. ὅταν δὲ καὶ αὖθις καθαρὸν μὲν φαίνηται τὸ Θυτήριον, ἐζόφωται δὲ ὁ ἄκρος ὦμος τοῦ Κενταύρου, τότε γίνωσκε τὸν εὖρον μέλλειν πνεῦσαι καὶ οὐ τὸν νότον, καὶ ἔχε τοῦτο σημεῖον. γίνωσκε δὲ ὅτι ὁ μὲν νότος κατ' εὐθὺ τοῦ βορέου πνέει, ὁ δὲ εὖρος ἐκ πλαγίου. PG.

456. — ⟨ἐπιτεκμήραιο⟩: στοχάσῃ. ὡς ἐν τοῖς ἄλλοις τῶν ἄστρων ἔστιν ἰδεῖν πάντας παρ' ἀλλήλους κειμένους καὶ δι' ἀλλήλων φανερουμένους. P.

458. — ⟨ἐνιαυτοί⟩: ἐνιαυτὸς ὁ κύκλος ἀπὸ τοῦ ἐν αὐτῷ τὸν πλάνητα γινόμενον κύκλον ἀποτελεῖν (PG). τοῦτο γὰρ ἐνιαυτός. σημαίνει ὁ ἐνιαυτὸς τὸν χρόνον. P.

468. — ⟨ἀντιφέρονται⟩: ἰσάζουσι κατὰ τὸ μέτρον ὁ ζῳδιακὸς καὶ ὁ ἰσημερινὸς κύκλος, καὶ ὁ θερινὸς τροπικὸς καὶ ὁ χειμερινός. PG

497. — ὅταν [.][1] ἐν τῷ Καρκίνῳ, τὰ πέντε ἄνω, τὰ δὲ τρία κάτω. P

509—510. — ὅταν δὲ πάλιν [.][1] ἐν τῷ Τοξότῃ, τὰ τρία μέν εἰσιν ἄνω, τὰ δὲ πέντε κάτω. P

527. — ⟨ἑκάτερθεν ἔχουσιν⟩: οἱ κύκλοι κρατοῦσιν αὐτὸν τὸν ζῳδιακὸν ἐκ τοῦ ἀμφοτέρου (sic) μέρους, ὁ μέσος δὲ ε', ἤγουν ὁ ἰσημερινός, κατὰ τὸ μέσον τέμνει τὸν ζῳδιακόν. P.

535—540. — ⟨μία δέ σφεων⟩: οὐ γὰρ λοξῶς κινοῦνται οἱ πόλοι ἵνα φαινομένου τοῦ ἑνὸς ὁ ἄλλος κρύπτηται, καὶ τοῦ ἑνὸς ἀνατέλλοντος ὁ ἄλλος ὑπὸ γῆν ἔτι ἔσται, ἀλλὰ κατ' εὐθύ. καὶ διὰ τοῦτο μία τούτοις καὶ δύσις καὶ ἀνατολὴ φαίνεται. PG.

607. — ⟨καὶ λεπτὰ φάουσαι⟩: οὐ φαίνονται ὅτε ἀνατέλλουσιν· ὅμως διὰ τοῦ Ἀρκτούρου συνανατέλλοντος στοχάζονται καὶ αἱ Χηλαί. PG.

618—619. — ⟨τοῦ μὲν ἄρ' οἴη / κνήμη⟩: ἡ μία κνήμη ἀνατέλλει σὺν ταῖς Χηλαῖς, τὸ δὲ μέσον τῷ Σκορπίῳ, τὸ δὲ λοιπὸν τοῦ σώματος τῷ Τοξότῃ. PG. cf. sch. 620.

640. — ⟨χάριν Οἰνοπίωνι⟩: ὁ Οἰνοπίων κατὰ τῆς Χίου ἦν (βασιλεὺς ἦν τῆς Χίου G). ἔδωκεν ἐξουσίαν θηρεύειν ἐν τῇ αὐτοῦ (sic) χώρᾳ, λέγω τῇ Χίῳ. ὃς

---

[1] Hic compendium non dispicio; an ἥλιος? Sed utcumque interpretationem istam leges, stulta evadet.

Ὠρίων ἀνταμειβόμενος τοῦτον τῆς ἀγάπης ἐφόνευε καὶ τὰ θηρία ὅσα ἦν ἐν αὐτῇ. PG.

649. — ⟨ὁ δὲ ... Κηφεύς⟩: ἤγουν ἕως τῆς ζώνης δύει Κηφεύς, ἐπειδὴ ἕως τῆς ζώνης ἔξω τοῦ ἀρκτικοῦ πόλου ἐστί. τὸ δὲ λοιπὸν τοῦ σώματος ἔσω τοῦ ἀρκτικοῦ πόλου ἐστί, καὶ διὰ τοῦτο ἀειφανές. PG.

678. — ⟨ἀτέλεστα⟩: ἐπειδὴ πάντοτε διωκόμενος οὐδέποτε καταλαμβάνεται. PG. cf. sch. 678.

722. — ⟨πίσυρες⟩: Ζυγὸς Σκορπίος Τοξότης Αἰγόκερως τοῦτον κατὰ μέρος κατάγουσιν. PG. cf. sch. 721.

739. — ⟨ὁποσταίη ... ἠώς⟩: οἱ ἀρχαῖοι διὰ τῆς σελήνης ἠρίθμουν τὰς ἡμέρας τοῦ μηνός. PG. cf. sch. **733-739 p. 375.**

740. — ⟨ἄκρα... νυκτῶν⟩: δύσεις ἀνατολὰς ἡμερῶν δι' ὧν αἱ δ' τροπαὶ γινώσκονται. PG. cf. sch. **733-739.**

VIII

INDEX LOCORUM IN QUIBUS MATRITENSIS 4629 (Ma^2) A MOSQUENSI K DISCEDIT[1]

p. 37, 4–5 τὸ δὲ ... προοιμίου om. Ma^2.
37, 6 μετὰ τοῦ σ K: om. Ma^2.
37, 6–7 ἐστι γὰρ καὶ ἀρχαισμὸς K: ἀρχαισμός ἐστι Ma^2.
37, 7 τ' post δόρπου (sic) om. Ma^2.
38, 11 ἄρχεται K: ἔρχεται Ma^2.
52, 3 ὄντος ζωτικοῦ K: οὗτος τοῦ ζωτικοῦ Ma^2.
52, 3 αἰτίου K: αἴτιος Ma^2.
54, 11 τοὺς om. Ma^2.
55, 1 ἀρότου καὶ ἀμήτου K: ἀρότην ἐν ἀμητοῦ Ma^2.
58, 13 φησι K: λέγει Ma^2.
58, 13–15 οὓς καλεῖσθαι ... διός K: om. Ma^2.
58, 15 ἄλλοι K: ἢ Ma^2.
58, 15–59, 1 πρότερον ... ἀστρονόμους: ἢ τοὺς προτέρους αὐτοῦ ἀστρονόμους Ma^2.
59, 2 νοεῖσθαι K: νοεῖν Ma^2.
61, 13 ἀντὶ τοῦ K: ἀντὶ Ma^2.

---

[1] In apparatu scholiorum 1–71 conficiendo Matritensem 4629 (de quo vide praef. p. X) neglexi ut mutilum et codicis K simillimum; sed nunc mihi scrupulus in animo est, quem ut evellerem hunc indicem composui; sic lector benevolus iudicium facere poterit.

τὸ γὰρ K: ὅθεν καὶ Ma².
ἄλλοι δὲ K: ἢ Ma².
62, 4 τοῦ et τῷ om. Ma².
62, 7 συμπεριάγονται K: — ντες Ma².
67, 13–17 Ἡσίοδος . . . ἀστερόεντα om. Ma².
68, 11 αὐτὴ K: αὐτὸ Ma².
80, 8 φυσικῶς K: — κὸς Ma².
83, 1 σχεδὸν K: καὶ σχεδὸν Ma².
83, 3 ἐνγεννήθη Ma².
μετακομίσθη δὲ ἐπεὶ Ma².
83, 5–6 τὸ καλούμενον . . . τοῦτο om. Ma².
83, 12 ὀρύττουσαι K: — σι Ma².
84, 7 Ἰδαίοιο K: ἰδαίοις Ma².
84, 10–12 οὕτως οὖν . . . τεχθῆναι om. Ma².
92, 2 Ἡσιόδῳ K: -δου Ma² recte.
92, 3 οὕτως K: οὗτος Ma² recte.
92, 4 καί τε K: καὶ τότε Ma².
92, 10 ὁ ante Πύθων om. Ma².
92, 12 ὁ δράκων K: δράκων Ma².
διέσωζε K: διέζωσε Ma² rectius.
95, 4–5 ἀντὶ τοῦ . . . Κυνόσουραν om. Ma².
95, 15 ὅπερ δὲ bis Ma².
99, 3 ἀρχομένη δὲ om. Ma² spatio relicto.
99, 9 γενόμενον K: γινόμενον Ma².
99, 10 κύκλον K: κύκλοις Ma².
101, 8–9 τουτέστι κατωνόμασαν K: ἤγουν κατ— Ma².
106, 8–9 post ἀπέθετο καὶ deficit Ma².

IX

SCHOLIA PERUSINA

In codice Perusino Bibliothecae Augustae A 35 (178 Mioni) saec. XIV, ultimi folii loco colligata sunt Aratei codicis, eadem aetate conscripti, folia duo mutila, sive paginae quattuor, quarum prima Phaenomenorum versus 921–934 praebet scholiis et glossis instructos, secunda versus 938–951 cum glossis, tertia et quarta versus 1024–1036 et 1040–1054. Nuperrime scholia quoque in hoc codice inesse cognovi, quae nunc integra exscribo, ut ipse videas quam proxime ad codicem nostrum Δ accedant; ipsis autem in versibus hic codex Planudeis adnumerandus est.

1) τω[
ράτρ[
οὖν φησιν[
καὶ ἀστραπα[ὶ
δόκα ἄνεμον. καὶ[
ἀσελήνῳ. ὅτε δοκοῦ[
τινὲς διὰ ξηρότητα.[
αὐτῶν λευκαὶ φαίνονται. . [
πνεῦμα τὴν αὐτὴν ἐκείνοις ὁδὸν ἐ[
οἷον ἐὰν ἐπὶ τὰ βόρεια φαίν.[
ἐκεῖθεν προσδόκα ἄνεμον ἢ (?) βορ[
ἐὰν δὲ πρὸς τὰ νότια, νότον.

Cf. supra p. 448, 6–9; p. 449, 2, 12–16.

2) ἐὰν δὲ ἄλλοι φησὶν ἄνεμοι (*sic*) ἐναν[τίον] τῶν προειρημένων ὁρμῶσι, καὶ ἄλλοι ἐξ ἄλλων μερῶν, παντοίους ἀνέμους προσδόκα, ἀτάκτως τῇδε κἀκεῖσε πνεύσοντας,

οἳ καὶ δύσκριτοι τοῖς ἀνθρώποις εἰσὶ τεκμήρασθαι τούτοις διὰ τὸ ἄτακτα πνέειν. Supra p. 451, 16 sqq.

3) ἐπειδὰν δέ φησιν ἐκ τοῦ εὔρου καὶ τοῦ νότου ἀστράπτῃ, ἄλλοτε δὲ ἐκ ζεφύρου καὶ βορέου, τότε ὁ ἐν πελάγει ναύτης φοβεῖται μὴ ἄρα περιέξῃ καὶ περικλύσῃ αὐτόν. τῇ μέν (936), ἀντὶ τοῦ ἔνθεν μὲν τὸ πέλαγος ἤγουν κάτωθεν, ἔνθεν δὲ ὁ τοῦ Διὸς ὄμβρος, ἤγουν ἄνωθεν. αἱ γὰρ ἀστραπαὶ αὗται σφοδρὸν ὑετὸν δηλοῦσιν. Supra p. 452, 10–16.

INDICES

I. AVCTORES

II. NOMINA FABVLARIA

III. HISTORICA

a. Nomina hominum et operum

b. Cetera

IV. GEOGRAPHICA

V. MENSES

1. Aegyptiorum

2. Romanorum

VI. SIGNA CAELESTIA

VII. SIGNA TEMPESTATVM

a. Animalia

b. Cetera signa

20

1 cod. Marcianus 476 (M) f. 20r (vv. 718–739)

2 cod. Salmaticensis 233 f. 4r (vv. 75–92)

3 cod. Scorialensis Σ III 3 f. 41ᵛ (vv. 512–541)

4 cod. Scorialensis Σ III 3 f. 42r (vv. 542–563)